EURÍPIDES

Ἡρακλεῖδαι

LOS HERÁCLIDAS



EURÍPIDES

LOS HERACLIDAS

INTRODUCCIÓN GENERAL DE
CARLOS GARCÍA GUAL

INTRODUCCIONES, TRADUCCIÓN Y NOTAS DE
ALBERTO MEDINA GONZÁLEZ
Y
JUAN ANTONIO LÓPEZ FÉREZ



http://www.perseus.tufts.edu/hopper/collection?collection=Perseus%3Acorpus%3Aperseus%2CGreek%20Tragedy
http://www.perseus.tufts.edu/hopper/text;jsessionid=D7E4169EE857E87554CCA4CA97108F63?doc=Perseus%3atext%3a1999.01.0103
http://webpages.ull.es/users/amarfer/trag/tragedias.html
http://invenio.lib.auth.gr/record/124659/files/?ln=es

INTRODUCCIÓN

La tragedia que nos ocupa corresponde a las llamadas político-patrióticas, al lado de *Heracles* y *Las Suplicantes.* Sabemos que Esquilo había escrito unos *Heraclidas,* pero no sabemos nada del argumento. Si prestamos crédito a los testimonios que nos han llegado, podemos decir que Eurípides ofreció ciertas novedades en el tratamiento del tema: el sacrificio de Macaria; el milagroso rejuvenecimiento de Yolao; la captura, muerte y entierro de Euristeo.

El tema no volvió a tratarse en Grecia. A través del mito, la obra intenta resaltar la generosidad con que los atenienses trataron a los hijos de Heracles y el pago injusto que recibieron a cambio. Es una denuncia de la invasión espartana contra el Ática.

Eurípides se plantea en esta obra, y también en *Las Suplicantes,* el fundamento de la piedad ateniense, subrayando que, para el hombre ateniense, no hay otro camino que el del cumplimiento exacto de las leyes divinas, dada su creencia en un mundo gobernado por los dioses.

Los Heraclidas se caracteriza, formalmente, por una gran sencillez en las partes líricas, que son más escasas que en el resto de las tragedias de Eurípides. Es la tragedia euripidea con menor número de versos (1055), pero este hecho por sí solo no autoriza a pensar que la obra fuera una elaboración abreviada con vistas a una representación posterior, como han creído algunos filólogos, entre ellos Wilamowitz.

En cuanto a su fecha, la opinión más general es que se representó en la primavera del 430, porque, en el verano de ese mismo año, los espartanos invadieron la Tetrápolis sin que se produjeran los terribles males que Euristeo profetiza al final de la tragedia. Pero no falta quien retrase la fecha hasta el 426[1].

Estructura esquemática de la obra. —

PRÓLOGO (1-72). Yolao habla de la huida de los Heraclidas, capitaneados por él y por la vieja Alcmena, y cuenta su llegada a Atenas. Viene Copreo, heraldo de Euristeo, que trata de llevárselos a Argos.

PÁRODO (73-119). Estructura comática, en la que el Coro alterna con Yolao en la estrofa y con Yolao y el heraldo en la antistrofa. Insiste en la situación de los Heraclidas. El Corifeo pide al heraldo que hable con el rey Demofonte.

EPISODIO 1.º. (120-352). Demofonte pregunta quién es el heraldo y qué busca. Interviene el Corifeo y tiene lugar el discurso del heraldo (134-178), en el que expone sus intenciones y la amenaza de guerra en caso de que no le dejaran llevarse a los fugitivos. Tras la intervención del Corifeo, Yolao habla a su vez (181-231): los Heraclidas no pertenecen ya a Argos, y Atenas no teme las amenazas argivas. Además, el parentesco une a los Heraclidas y a Demofonte, el cual toma partido por los suplicantes. Sigue una esticomitia entre el heraldo y Demofonte con intervenciones aisladas del Corifeo.

En un sistema anapéstico (288-296) el Coro exhorta a tomar medidas frente al ejército de los argivos. Yolao da las gracias a Demofonte y pide a los hijos de Heracles que guarden agradecimiento eterno a Atenas. Demofonte se prepara para la lucha, y Yolao sigue en actitud de suplicante.

ESTÁSIMO1.º. (353-380). En una estrofa, antístrofa y epodo, el Coro recrimina a Euristeo su insensatez.

EPISODIO 2.º (381-607). Yolao se sorprende de la vuelta de Demofonte, quien advierte que, para vencer al enemigo, hay que sacrificar, en honor de Deméter, una doncella, hija de padre noble.

[1] M. FERNÁNDEZ-GALIANO, «Estado actual de los problemas de cronología euripidea», *Actas III Congreso Español de Estudios Clásicos,* I, Madrid, 1968, pág. 341.

Siguen dos versos del Corifeo (425-426). Yolao no sabe qué hacer en su desesperación, y se ofrece para morir personalmente. El Corifeo interviene (461-463). Demofonte afirma que de nada serviría la muerte del anciano. Entonces aparece Macaria (474), hija de Heracles, que se ofrece a morir en defensa de los suyos y de la ciudad de Atenas, antes de verse deshonrada o esclava. El Corifeo elogia su actitud. Conversación entre Yolao y *Macaria,* con la intervención de Demofonte.

ESTÁSIMO 2.º (608-629). El Coro habla, en la estrofa y antistrofa, de las vicisitudes propias del ser humano y de la gloria que acompañará a Macaria.

EPISODIO 3.º (630-747). Viene un servidor que refiere a Yolao y Alcmena la llegada de Hilo, hijo de Heracles, y su participación en la lucha al lado de los atenienses. Yolao decide armarse y acudir a la batalla. El Coro, en un sistema anapéstico, pone de relieve la arrogancia de Yolao. Un servidor ayuda al anciano en su marcha y le lleva las armas.

ESTÁSIMO 3.º (748-783). El Coro afirma que Zeus es su aliado. Invoca también a Atenea contra el ejército argivo. Consta de dos estrofas y sus antistrofas.

EPISODIO 4.º (784-891). Un servidor le cuenta a Alcmena la victoria: Euristeo no había aceptado un combate singular con Hilo; el milagroso rejuvenecimiento de Yolao por intervención de Heracles y Hebe; la captura de Euristeo. Interviene el Corifeo (867-868). Alcmena da gracias a Zeus. El servidor presenta a Euristeo ante la anciana.

ESTÁSIMO 4.º (892-927). El Coro se ocupa, respectivamente, en dos estrofas y dos antístrofas, de la dicha de los amigos; de la honra de los dioses; de la boda de Heracles, y, por' último, del triunfo de Atenas sobre Euristeo.

ÉXODO (928-1055). Un servidor ha conducido a Euristeo ante Alcmena, la cual amenaza de muerte a su cruel enemigo. Sigue una esticomitia en la que el servidor hace saber a Alcmena que la muerte de Euristeo no les gustaría a los jefes de Atenas. Interviene el Corifeo (981-982). Euristeo replica que no tiene miedo. El Corifeo pide a Alcmena que perdone a su enemigo. La anciana contesta que lo matará y que, después, entregará el cadáver a la ciudad. Euristeo hace una serie de vaticinios sobre Atenas y los Heraclidas. El éxodo propiamente dicho es muy breve (1053-1055). El Coro se despide.

NOTA BIBLIOGRÁFICA

EURIPIDES, *Heracleidae,* texto, introducción y notas de BECK - HEADLAM, Cambridge, 1905.

EURIPIDES, *The Heraclidae,* edición, prólogo y notas de A. C. PEARSON, Cambridge, 1907.

EURIPIDES, *Heracleidae,* edición, prólogo y notas de C. S. JERRAM, Oxford, 1907.

EURIPIDE, *Le Cyclope, Alceste, Médée, Les Héraclides,* texto y traducción de L. MÉRIDIER, 5.ª ed., París, 1961.

EURIPIDES, *Die Kinder des Herakles, Hekabe, Andromache,* texto, traducción y notas de E. BUSCHOR, Munich, 1972.

NOTA SOBRE LAS FUENTES

La edición básica que seguimos es la de G. MURRAY, *Euripides Fabulae,* I, Oxford, reimpr. 1951. Señalamos a continuación los pasajes en que discrepamos de ella. Las variantes que preferimos van en segundo lugar.

Cuando no decimos lo contrario, se trata de la lectura de los manuscritos.

21 προτείνων Ἄργος οὐ σμικρὸν φίλην	προτιμῶν Ἄργος· οὐ σμικρὰν φίλων
77 Suprimir laguna.	
102 Quitar corchetes.	
110 Suprimir laguna.	
171 ὡπλισμένοις	ὡπλισμένοι
245 Ἀργείων	Ἀργείοις
255, 525, 971 οὐκ οὖν	οὔκουν
262 τῶν	τῶν γ' (Wilamowitz)
299-301 Quitar corchetes.	
311 Suprimir laguna.	
314 μέμνησθέ μοι τήνδ'	μεμνημένοι τῶνδ'
346 ἀπαλλαχθῇς	ἀπαλλαχθῇ
376 Quitar corchetes.	
382 λέξεις	λέγεις
384 ψεύσῃς	ψεύσῃ
386 εἶσιν	ἐστίν
396-397 Quitar cruces.	
396 τὰ νῦν δορὸς	τ' ἄνευ δορὸς (Musgrave)
401-2 Poner en su orden.	
406 θεσφάτοις	θεσφάτων
426 χρῄζουσιν	χρῄζουσαν
436 αἰνέσαι	αἰνέσας
438 σή	σοί
451 ἅπασα	ἅπασι
486 δρόμος	δόμος
506 σφε σῶσαι	σεσῶσθαι
513 τινὰ	δεινὰ Quitar cruces.
515 ἀλητεύσω	ἀλητεύω
541 Ἡράκλειος	Ἡρακλῆος
629 Suprimir laguna.	
634 συνειχόμην	συνεσχόμην
643 τοῦδε	τούσδε
689 μαχοῦνται	μαχοῦμαι
696 τοῖς δ' οὖσι χρησόμεσθα·	τοῖσδ'· οἷσι χρησόμεσθα
736 οὐ	σὺ

743 οἷαν	οἷος
744 θείμην	θείην
754 ἐν	τ᾽ ἐν
756 ὑπὲρ	περὶ
771 [γᾶς], σὸν	γᾶς [σὸν] (Pearson)
785 Quitar cruces.	
805 Suprimir laguna.	
822 Quitar cruces.	
837 μάχη	μάχῃ
838 ἦν δὲ τοῦ κελεύματος	δύο κελεύσματα (Ludv. Dindorf)
884 Quitar cruces.	
890 ἐλευθερώσειν	ἐλευθέρωσον
902 ἀφέσθαι	ἀφελέσθαι
924 ὕβριν	ὕβρεις
925 βίαιος	βιαίως
930 τῷδε... τύχην	τῶνδε... τυχεῖν
933 πόλιν	πολὺ
960, 64, 66, 68, 70, 72, 74 Χο.	Θε.
962 Θε. 963 Αλ.	962-63 Αλ.
999 ⟨'μοι⟩	⟨τὰ⟩ (Canter)
1014 προσεῖπας	πρὸς ἅ γ᾽ εἶπας (P, l)
1017 Suprimir laguna.	
1018-19 y	
1021-22 —	Χο.
1039 νομίζων	νομίζω
1052 Suprimir laguna.	
1053 Ημιχ.	Χο.

http://www.perseus.tufts.edu/hopper/collection?collection=Perseus%3Acorpus%3Aperseus%2CGreek%20Tragedy

http://www.perseus.tufts.edu/hopper/text?doc=Perseus%3atext%3a1999.01.0103

Euripides. Euripides, with an English translation by David Kovacs. Cambridge. Harvard University Press. forthcoming.

The Annenberg CPB/Project provided support for entering this text.

http://www.archive.org/search.php?query=Euripides%20way

ARGUMENTO 2

Yolao era hijo de Ificles y sobrino de Heracles. En su juventud participó con éste en sus campañas; en su vejez permaneció, como defensor fiel, junto a sus descendientes. Siendo expulsados los hijos de Heracles de todas las tierras por obra de Euristeo, llegó con ellos a Atenas y allí, refugiándose en los dioses, recibió la seguridad de parte[2] de Demofonte, soberano de la ciudad. Queriendo Copreo, heraldo de Euristeo, llevarse a rastras a los suplicantes, Yolao se lo impidió. Copreo se retiró tras amenazarle con que se preparara para una guerra. Pero Demofonte no se preocupaba por eso. Como tuvieran lugar unos oráculos que le daban la victoria si sacrificaba en honor de Deméter a la muchacha más noble, quedó sumido en la duda con el vaticinio, pues no consideraba justo matar a su propia hija ni a la de ningún ciudadano a causa de los suplicantes. Sabedora de la profecía, una de las hijas de Heracles, Macaría, arrostró voluntariamente la muerte. Entonces la honraron por haber muerto con nobleza y, sabiendo que los enemigos se habían presentado, se lanzaron al combate...

[2] W. SCHMID - O. STÄHLIN, *Geschichte der griechischen Literatur*, I, 3, 2.1 ed., Munich, 1961, págs. 417-428.

PERSONAJES

YOLAO.	**Ἰόλαος**
HERALDO, Copreo.	**Κῆρυξ**
CORO.	**Χορός**
DEMOFONTE.	**Δημοφῶν**
MACARIA.	**Παρθένος**
Un SERVIDOR.	**Θεράπων**
ALCMENA.	**Ἀλκμήνη**
Un MENSAJERO.	**Ἄγγελος**
EURISTEO.	**Εὐρυσθεύς**

Ἰόλαος

Πάλαι ποτ᾽ ἐστὶ τοῦτ᾽ ἐμοὶ δεδογμένον:
ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ᾽ ἀνὴρ
<βοηθός, αὐτὸς συμφοραῖσιν ἐμπλακείς,>
ὁ δ᾽ ἐς τὸ κέρδος λῆμ᾽ ἔχων ἀνειμένον
πόλει τ᾽ ἄχρηστος καὶ συναλλάσσειν βαρύς,
αὑτῷ δ᾽ ἄριστος: οἶδα δ᾽ οὐ λόγῳ μαθών.
ἐγὼ γὰρ αἰδοῖ καὶ τὸ συγγενὲς σέβων,
ἐξὸν κατ᾽ Ἄργος ἡσύχως ναίειν, πόνων
πλείστων μετέσχον εἷς ἀνὴρ Ἡρακλέει,
ὅτ᾽ ἦν μεθ᾽ ἡμῶν: νῦν δ᾽, ἐπεὶ κατ᾽ οὐρανὸν
ναίει, τὰ κείνου τέκν᾽ ἔχων ὑπὸ πτεροῖς
σῴζω τάδ᾽ αὐτὸς δεόμενος σωτηρίας.
ἐπεὶ γὰρ αὐτῶν γῆς ἀπηλλάχθη πατήρ,
πρῶτον μὲν ἡμᾶς ἤθελ᾽ Εὐρυσθεὺς κτανεῖν:
ἀλλ᾽ ἐξέδραμεν, καὶ πόλις μὲν οἴχεται,
ψυχὴ δ᾽ ἐσώθη. φεύγομεν δ᾽ ἀλώμενοι
ἄλλην ἀπ᾽ ἄλλης ἐξορισθέντες πόλιν.
πρὸς τοῖς γὰρ ἄλλοις καὶ τόδ᾽ Εὐρυσθεὺς κακοῖς
ὕβρισμ᾽ ἐς ἡμᾶς ἠξίωσεν ὑβρίσαι:
πέμπων ὅπου γῆς πυνθάνοιθ᾽ ἱδρυμένους
κήρυκας ἐξαιτεῖ τε κἀξείργει χθονός,
πόλιν προτείνων Ἄργος οὐ σμικρὸν φίλην
ἐχθράν τε θέσθαι, χαὐτὸν εὐτυχοῦνθ᾽ ἅμα.
οἱ δ᾽ ἀσθενῆ μὲν τἀπ᾽ ἐμοῦ δεδορκότες,
σμικροὺς δὲ τούσδε καὶ πατρὸς τητωμένους,
τοὺς κρείσσονας σέβοντες ἐξείργουσι γῆς.
ἐγὼ δὲ σὺν φεύγουσι συμφεύγω τέκνοις
καὶ σὺν κακῶς πράσσουσι συμπράσσω κακῶς,
ὀκνῶν προδοῦναι, μή τις ὧδ᾽ εἴπῃ βροτῶν:
Ἴδεσθ᾽, ἐπειδὴ παισὶν οὐκ ἔστιν πατήρ,

PRÓLOGO (1-72).

YOLAO. — Desde antaño estoy convencido de esto: un hombre es, por nacimiento, justo con sus vecinos, mas otro, al tener su ánimo consagrado al lucro, es inútil para la ciudad, difícil de tratar, sólo excelente para sí mismo. Lo sé por haberlo aprendido no de palabra. Efectivamente, yo, por respeto al pudor y al parentesco, aunque me era posible vivir tranquilamente en Argos[1], fui el único que participé con Heracles en la mayor parte de sus trabajos, cuando estaba entre nosotros. Pero ahora, una vez que vive en el cielo, protejo a sus hijos teniéndolos aquí bajo mis alas, aunque yo mismo preciso de protección. Pues, apenas su padre se marchó de la tierra, al momento Euristeo quería matarnos, pero huimos. La ciudad se pierde, pero la vida se ha salvado. Huimos errantes cruzando los límites de una ciudad tras otra. Además de las otras desgracias, Euristeo creyó oportuno cometer contra nosotros la siguiente insolencia. Enviando heraldos a cualquier tierra donde se informara de que estábamos asentados, nos reclama y nos hace expulsar del país, aludiendo, ante todo, al honor de la ciudad de Argos: que consideren que no es pequeña la enemistad de sus amigos y que él es afortunado a un tiempo. Ellos, contemplando la debilidad de mi persona y la de éstos, pequeños y privados de su padre, nos expulsan del país por respeto a los más poderosos. Yo comparto el destierro con estos niños desterrados, y cuando ellos lo pasan mal, comparto el dolor, porque temo

[1] Argos y Micenas aparecen prácticamente identificadas en esta tragedia. Pero es preciso distinguir: Micenas es la ciudad y Argos el distrito. En el año 467 a. C., Micenas fue destruida por Argos. En la época en que se escribió esta obra, no pasaba de ser un lugar insignificante.

Ἰόλαος οὐκ ἤμυνε συγγενὴς γεγώς.
πάσης δὲ χώρας Ἑλλάδος τητώμενοι,
Μαραθῶνα καὶ σύγκληρον ἐλθόντες χθόνα
ἱκέται καθεζόμεσθα βώμιοι θεῶν
προσωφελῆσαι: πεδία γὰρ τῆσδε χθονὸς
δισσοὺς κατοικεῖν Θησέως παῖδας λόγος
κλήρῳ λαχόντας ἐκ γένους Πανδίονος,
τοῖσδ᾽ ἐγγὺς ὄντας: ὧν ἕκατι τέρμονας
κλεινῶν Ἀθηνῶν τήνδ᾽ ἀφικόμεσθ᾽ ὁδόν.
δυοῖν γερόντοιν δὲ στρατηγεῖται φυγή:
ἐγὼ μὲν ἀμφὶ τοῖσδε καλχαίνων τέκνοις,
ἡ δ᾽ αὖ τὸ θῆλυ παιδὸς Ἀλκμήνη γένος
ἔσωθε ναοῦ τοῦδ᾽ ὑπηγκαλισμένη
σῴζει: νέας γὰρ παρθένους αἰδούμεθα
ὄχλῳ πελάζειν κἀπιβωμιοστατεῖν.
Ὕλλος δ᾽ ἀδελφοί θ᾽ οἷσι πρεσβεύει γένος
ζητοῦσ᾽ ὅπου γῆς πύργον οἰκιούμεθα,
ἣν τῆσδ᾽ ἀπωθώμεσθα πρὸς βίαν χθονός.
ὦ τέκνα τέκνα, δεῦρο, λαμβάνεσθ᾽ ἐμῶν
πέπλων: ὁρῶ κήρυκα τόνδ᾽ Εὐρυσθέως
στείχοντ᾽ ἐφ᾽ ἡμᾶς, οὗ διωκόμεσθ᾽ ὕπο
πάσης ἀλῆται γῆς ἀπεστερημένοι.
ὦ μῖσος, εἴθ᾽ ὄλοιο χὼ πέμψας <σ᾽> ἀνήρ,
ὡς πολλὰ δὴ καὶ τῶνδε γενναίῳ πατρὶ
ἐκ τοῦδε ταὐτοῦ στόματος ἤγγειλας κακά.

traicionarlos, no sea que algún mortal diga así: «Mirad: cuando el padre ya no existe para sus hijos, Yolao no los defendió, a pesar de ser su pariente»[1a]. Expulsados de cualquier territorio de la Hélade, cuando llegamos a Maratón y al territorio que comparte su suerte[2], nos sentamos como suplicantes en los altares de los dioses, para que nos ayuden. Pues las llanuras de esta tierra es fama que las habitan los dos hijos[3] de Teseo, por haberles tocado en suerte a ellos, que proceden del linaje de Pandión[4], parientes próximos de los aquí presentes. A causa de eso hemos llegado a las fronteras de la famosa Atenas, a este mojón. La huida está capitaneada por dos ancianos. Yo, que abrumado velo por estos niños, y ella, Alcmena, quien, a su vez, dentro de este templo ha protegido bajo sus brazos a la descendencia femenina de su hijo y la mantiene a salvo. Pues nos da vergüenza que unas doncellas jóvenes se acerquen a la multitud y se coloquen ante los altares. Hilo[5] y sus hermanos, cuya edad es mayor, buscan en qué parte del país estableceremos un baluarte, en caso de ser rechazados a la fuerza de esta tierra. ¡Oh hijos, hijos! Cogeos de mis ropas. Aquí veo al mensajero de Euristeo caminando hacia nosotros, que no deja de perseguirnos, errantes, privados de todo país. ¡Oh objeto de odio! ¡Así te mueras tú y el hombre que te ha enviado! ¡Cuántas veces ya al noble padre de éstos le has anunciado males desde esa misma boca!

Κῆρυξ

ἦ που καθῆσθαι τήνδ᾽ ἕδραν καλὴν δοκεῖς
πόλιν τ᾽ ἀφῖχθαι σύμμαχον, κακῶς φρονῶν:
οὐ γάρ τις ἔστιν ὃς πάροιθ᾽ αἱρήσεται
τὴν σὴν ἀχρεῖον δύναμιν ἀντ᾽ Εὐρυσθέως.
χώρει: τί μοχθεῖς ταῦτ᾽; ἀνίστασθαί σε χρὴ
ἐς Ἄργος, οὗ σε λεύσιμος μένει δίκη.

HERALDO[6]. — Piensas quizá que es hermoso el sitio en que te has sentado y que has llegado a una ciudad aliada, porque desvarías. Pues no hay quien vaya a preferir tu poder inútil a cambio del de Euristeo. ¡Vete de ahí! ¿Por qué te tomas esas fatigas? Es preciso que tú te levantes para dirigirte a Argos, donde te aguarda la pena de lapidación.

[1a] Yolao era hijo de Ificles, que era, a su vez, hijo de Anfitrión y hermanastro de Heracles. Yolao era, por tanto, sobrino de Heracles.

[2] Comprendía los municipios de Maratón, Énoe, Probalinto y Tricórito. Había sido fundada por Tufo, nieto de Deucalión y yerno de Erecteo.

[3] Demofonte y Acamante.

[4] Padre de Egeo y abuelo de Teseo. La madre de Teseo era Etra, prima hermana de Alcmena. Por ello, Teseo y Heracles eran hijos de primos hermanos.

[5] Hijo de Heracles y Deyanira.

[6] Los manuscritos ofrecen siempre su nombre, Copreo. Probablemente se trata de un añadido de los eruditos helenísticos.

Ἰόλαος

οὐ δῆτ᾽, ἐπεί μοι βωμὸς ἀρκέσει θεοῦ,
ἐλευθέρα τε γαῖ᾽ ἐν ᾗ βεβήκαμεν.

YOLAO. — No por cierto, pues me defenderá el altar del dios, y la tierra libre que estoy pisando.

Κῆρυξ

βούλῃ πόνον μοι τῇδε προσθεῖναι χερί;

HERALDO. — ¿Quieres añadirle trabajo a esta mano mía?

Ἰόλαος

οὔτοι βίᾳ γέ μ᾽ οὐδὲ τούσδ᾽ ἄξεις λαβών.

YOLAO. — Ni a mí ni a éstos nos llevarás y no trates de cogernos a la fuerza.

Κῆρυξ

γνώσῃ σύ: μάντις δ᾽ ἦσθ᾽ ἄρ᾽ οὐ καλὸς τάδε.

HERALDO. — Lo vas a ver tú. No eres un buen adivino al respecto.

Ἰόλαος

οὐκ ἂν γένοιτο τοῦτ᾽ ἐμοῦ ζῶντός ποτε.

YOLAO. — Jamás podrá suceder eso mientras yo viva.

Κῆρυξ

ἄπερρ᾽: ἐγὼ δὲ τούσδε, κἂν σὺ μὴ θέλῃς,
ἄξω νομίζων, οὗπέρ εἰσ᾽, Εὐρυσθέως.

HERALDO. — Levanta. Yo a éstos, aunque tú no quieras, me los llevaré por considerarlos de quien precisamente son, de Euristeo.

Ἰόλαος

ὦ τὰς Ἀθήνας δαρὸν οἰκοῦντες χρόνον,
ἀμύνεθ᾽: ἱκέται δ᾽ ὄντες ἀγοραίου Διὸς
βιαζόμεσθα καὶ στέφη μιαίνεται
πόλει τ᾽ ὄνειδος καὶ θεῶν ἀτιμίαν.

YOLAO. — ¡Oh vosotros que habitáis Atenas desde hace largo tiempo! ¡Defendednos! A pesar de que somos suplicantes de Zeus, protector del ágora, se nos hace violencia y pisotean nuestras diademas[7]. ¡Ultraje para la ciudad y deshonra hacia los dioses!

Χορός

ἔα ἔα: τίς ἡ βοὴ βωμοῦ πέλας
ἕστηκε; ποίαν συμφορὰν δείξει τάχα;
ἴδετε τὸν γέροντ᾽ ἀμαλὸν ἐπὶ πέδῳ χύμενον: ὦ τάλας
πρὸς τοῦ ποτ᾽ ἐν γῇ πτῶμα δύστηνον πίτνεις;

PÁRODO (73-119).

CORO. — ¡Eh! ¡Eh! ¿Qué grito ha surgido cerca del altar? ¿Qué tipo de desgracia indicará en seguida?

CORO. Estrofa.

—Mirad al débil anciano tendido en el suelo. ¡Oh infeliz!

—¿A manos de quién has tenido tan desdichada caída en tierra?

Ἰόλαος

ὅδ᾽ ὦ ξένοι με σοὺς ἀτιμάζων θεοὺς
ἕλκει βιαίως Ζηνὸς ἐκ προβωμίων.

YOLAO. — Éste, *oh extranjeros, deshonrando a vuestros dioses, trata de arrastrarme a la fuerza fuera de la entrada del altar de Zeus.*

---

[7] Entre los atributos de Zeus se contaba el de *agoraios* «Protector de la plaza pública», «de las asambleas». En este caso los Heraclidas iban adornados con diademas y cintas, símbolo de .los suplicantes.

Χορός

σὺ δ᾽ ἐκ τίνος γῆς, ὦ γέρον, τετράπτολιν
ξύνοικον ἦλθες λαόν; ἦ πέραθεν ἁλίῳ πλάτᾳ
κατέχετ᾽ ἐκλιπόντες Εὐβοῖδ᾽ ἀκτάν;

CORO. — *Y tú, oh anciano, ¿desde qué país has venido al pueblo que habita en común las cuatro ciudades? ¿Acaso desde la otra orilla, tras dejar la costa de Eubea, arribáis con el remo marino?*

Ἰόλαος

οὐ νησιώτην, ὦ ξένοι, τρίβω βίον,
ἀλλ᾽ ἐκ Μυκηνῶν σὴν ἀφίγμεθα χθόνα.

YOLAO. — *No llevo, oh extranjeros, una vida isleña, sino que hemos llegado a tu tierra desde Micenas.*

Χορός

ὄνομα τί σε, γέρον, Μυκηναῖος ὠνόμαζεν λεώς;

CORO. — ¿Qué nombre te aplicaba el pueblo de Micenas, anciano?

Ἰόλαος

τὸν Ἡράκλειον ἴστε που παραστάτην
Ἰόλαον: οὐ γὰρ σῶμ᾽ ἀκήρυκτον τόδε.

YOLAO. — *Conocéis, sin duda, al asistente de Heracles, a Yolao. Pues no es ésta una persona que necesite pregonero.*

Χορός

οἶδ᾽ εἰσακούσας καὶ πρίν: ἀλλὰ τοῦ ποτ᾽ ἐν χειρὶ σᾷ
κομίζεις κόρους νεοτρεφεῖς; φράσον.

CORO. — *Lo conozco por haberlo oído nombrar hace tiempo ya. Mas, ¿de quién son los niños, de pocos años, que cuidas con tus manos? Explícamelo.*

Ἰόλαος

Ἡρακλέους οἵδ᾽ εἰσὶ παῖδες, ὦ ξένοι,
ἱκέται σέθεν τε καὶ πόλεως ἀφιγμένοι.

YOLAO. — *Éstos son los hijos de Heracles, oh extranjeros, llegados como suplicantes vuestros y de la ciudad.*

Χορός

τί χρέος; ἦ λόγων πόλεος, ἔνεπέ μοι, μελόμενοι τυχεῖν;

CORO. Antistrofa.
¿Por qué motivo? Dime. ¿Acaso os interesa obtener la atención de la ciudad?

Ἰόλαος

μήτ᾽ ἐκδοθῆναι μήτε πρὸς βίαν θεῶν
τῶν σῶν ἀποσπασθέντες εἰς Ἄργος μολεῖν.

YOLAO. — Para no ser entregados ni ir a Argos, una vez que seamos separados de tus dioses a la fuerza.

Κῆρυξ

ἀλλ᾽ οὔτι τοῖς σοῖς δεσπόταις τάδ᾽ ἀρκέσει,
οἳ σοῦ κρατοῦντες ἐνθάδ᾽ εὑρίσκουσί σε.

HERALDO. — Pero eso no agradará a tus dueños, que, con cierto dominio sobre ti, te encuentran aquí.

Χορός

εἰκὸς θεῶν ἱκτῆρας αἰδεῖσθαι, ξένε,
καὶ μὴ βιαίῳ χειρὶ δαιμόνων ἀπολιπεῖν σφ᾽ ἕδη:
πότνια γὰρ Δίκα τάδ᾽ οὐ πείσεται.

CORO. — *Es natural, extranjero, respetar a los suplicantes de los dioses, y que tú no abandones la sede de las divinidades a causa de una' mano violenta. Pues la venerable justicia no consentirá*

tal abuso.

Κῆρυξ

ἔκπεμπέ νυν γῆς τούσδε τοὺς Εὐρυσθέως,
κοὐδὲν βιαίῳ τῇδε χρήσομαι χερί.

HERALDO. — Expulsa, pues, del país a éstos, los de Euristeo, y en nada recurriré con mi brazo a la violencia.

Χορός

ἄθεον ἱκεσίαν μεθεῖναι πέλει ξένων προστροπάν.

CORO. — Impío es para una ciudad despedir un grupo suplicante de extranjeros.

Κῆρυξ

καλὸν δέ γ᾽ ἔξω πραγμάτων ἔχειν πόδα,
εὐβουλίας τυχόντα τῆς ἀμείνονος.

HERALDO. —Pero es hermoso, de seguro, tener el pie no a salvo de dificultades, por haber tomado una decisión más conveniente.

Χορός

οὔκουν τυράννοις τῆσδε γῆς φράσαντά σε
χρῆν ταῦτα τολμᾶν, ἀλλὰ μὴ βίᾳ ξένους
θεῶν ἀφέλκειν, γῆν σέβοντ᾽ ἐλευθέραν;

CORIFEO. — Pues bien, será preciso que tú te atrevas a explicarle eso al rey de esta tierra, pero que no apartes de los dioses a los extranjeros arrastrándolos con violencia, por respeto a una tierra libre.

Κῆρυξ

τίς δ᾽ ἐστὶ χώρας τῆσδε καὶ πόλεως ἄναξ;

HERALDO. — ¿Quién es el señor de esta tierra y de la ciudad?

Χορός

ἐσθλοῦ πατρὸς παῖς Δημοφῶν ὁ Θησέως.

CORIFEO. — Demofonte el de Teseo, hijo de un padre noble.

Κῆρυξ

πρὸς τοῦτον ἀγὼν ἆρα τοῦδε τοῦ λόγου
μάλιστ᾽ ἂν εἴη: τἄλλα δ᾽ εἴρηται μάτην.

HERALDO. — Entonces ante ése, precisamente, podría realizarse la discusión de este argumento. Si no, lo demás se ha dicho en vano.

Χορός

καὶ μὴν ὅδ᾽ αὐτὸς ἔρχεται σπουδὴν ἔχων
Ἀκάμας τ᾽ ἀδελφός, τῶνδ᾽ ἐπήκοοι λόγων.

CORIFEO. — Helo aquí que llega de prisa y, también, su hermano Acamante, prestando oído a tus palabras.

EPISODIO 1.º. (120-352).

Δημοφῶν

ἐπείπερ ἔφθης πρέσβυς ὢν νεωτέρους
βοηδρομήσας τήνδ᾽ ἐπ᾽ ἐσχάραν Διός,
λέξον, τίς ὄχλον τόνδ᾽ ἀθροίζεται τύχη;

DEMOFONTE. — Puesto que, aunque eres mayor, te has adelantado a gente más joven en venir a socorrer este altar de Zeus, dime qué circunstancia reúne a esta multitud.

Χορός

ἱκέται κάθηνται παῖδες οἵδ᾽ Ἡρακλέους
βωμὸν καταστέψαντες, ὡς ὁρᾷς, ἄναξ,
πατρός τε πιστὸς Ἰόλεως παραστάτης.

CORIFEO. — Como suplicantes están sentados aquí los hijos de Heracles, después de coronar el altar, como ves, señor, y también Yolao, el fiel asistente de su padre.

Δημοφῶν

τί δῆτ᾽ ἰυγμῶν ἥδ᾽ ἐδεῖτο συμφορά;

DEMOFONTE. — ¿Qué necesidad de gritos tenía este suceso?

Χορός

βίᾳ νιν οὗτος τῆσδ᾽ ἀπ᾽ ἐσχάρας ἄγειν
ζητῶν βοὴν ἔστησε κἄσφηλεν γόνυ
γέροντος, ὥστε μ᾽ ἐκβαλεῖν οἴκτῳ δάκρυ.

CORIFEO. — Ése de ahí, al tratar de llevárselos a la fuerza de este altar, originó el griterío e hizo caer de rodillas al anciano, hasta el punto de suscitar mis lágrimas por compasión.

Δημοφῶν

καὶ μὴν στολήν γ᾽ Ἕλληνα καὶ ῥυθμὸν πέπλων
ἔχει, τὰ δ᾽ ἔργα βαρβάρου χερὸς τάδε.
σὸν δὴ τὸ φράζειν ἐστί, μὴ μέλλειν <δ᾽>, ἐμοὶ
ποίας ἀφῖξαι δεῦρο γῆς ὅρους λιπών;

DEMOFONTE. — En verdad, tiene de griego el vestido y la disposición de sus ropas, pero las obras son propias de una mano bárbara. Tu misión es contarme, y no tardar, de qué tierra has dejado las fronteras para venir aquí.

Κῆρυξ

Ἀργεῖός εἰμι: τοῦτο γὰρ θέλεις μαθεῖν:
ἐφ᾽ οἷσι δ᾽ ἥκω καὶ παρ᾽ οὗ λέγειν θέλω.
πέμπει Μυκηνῶν δεῦρό μ᾽ Εὐρυσθεὺς ἄναξ
ἄξοντα τούσδε: πολλὰ δ᾽ ἦλθον, ὦ ξένε,
δίκαι᾽ ὁμαρτῇ δρᾶν τε καὶ λέγειν ἔχων.
Ἀργεῖος ὢν γὰρ αὐτὸς Ἀργείους ἄγω
ἐκ τῆς ἐμαυτοῦ τούσδε δραπέτας χθονός,
νόμοισι τοῖς ἐκεῖθεν ἐψηφισμένους
θανεῖν: δίκαιοι δ᾽ ἐσμὲν οἰκοῦντες πόλιν
αὐτοὶ καθ᾽ αὑτῶν κυρίους κραίνειν δίκας.
πολλῶν δὲ κἄλλων ἑστίας ἀφιγμένοι
ἐν τοῖσιν αὐτοῖς τοισίδ᾽ ἔσταμεν λόγοις,
κοὐδεὶς ἐτόλμησ᾽ ἴδια προσθέσθαι κακά.
ἀλλ᾽ ἤ τιν᾽ ἐν σοὶ μωρίαν ἐσκεμμένοι
δεῦρ᾽ ἦλθον ἢ κίνδυνον ἐξ ἀμηχάνων
ῥίπτοντες, εἴτ᾽ οὖν εἴτε μὴ γενήσεται
<τὰ σ᾽ ὧδ᾽ ἀσύνετα καὶ φρενῶν τητώμενα>.
οὐ γὰρ φρενήρη γ᾽ ὄντα σ᾽ ἐλπίζουσί που
μόνον τοσαύτης ἣν ἐπῆλθον Ἑλλάδος
τὰς τῶνδ᾽ ἀβούλως συμφορὰς κατοικτιεῖν.
φέρ᾽ ἀντίθες γάρ: τούσδε τ᾽ ἐς γαῖαν παρεὶς
ἡμᾶς τ᾽ ἐάσας ἐξάγειν, τί κερδανεῖς;
τὰ μὲν παρ᾽ ἡμῶν τοιάδ᾽ ἔστι σοι λαβεῖν,
Ἄργους τοσήνδε χεῖρα τήν τ᾽ Εὐρυσθέως
ἰσχὺν ἅπασαν τῇδε προσθέσθαι πόλει.
ἢν δ᾽ ἐς λόγους τε καὶ τὰ τῶνδ᾽ οἰκτίσματα

HERALDO. — Soy argivo, pues quieres saberlo. Para qué y de parte de quién he venido, quiero contártelo. Me envía aquí Euristeo, señor de Micenas, para llevarme a éstos. He venido, oh extranjero, con muchos motivos al mismo tiempo, tanto para obrar como para hablar. Siendo yo en persona argivo, trato de llevarme a estos argivos fugitivos de mi tierra, condenados a morir por las leyes de allí. Pues por habitar una ciudad es justo que ejecutemos las sentencias soberanas sobre nosotros mismos. A pesar de que ellos han llegado a los hogares de otros muchos, insistimos en esas mismas razones y nadie se ha atrevido a ganarse daños personales. Mas han venido aquí por haber reparado en alguna locura al pensar en ti, o por correr desde su situación irremediable el riesgo de si va a suceder o no tal desvarío. Pues no esperan, sin duda, si eres cuerdo al menos, que tú solo de entre tantos países griegos a los que han acudido, vayas a apiadarte de sus insensatas desgracias. ¡Ea! Compara, en efecto: ¿qué provecho tendrás si admites a éstos en tu país, y cuál si nos permites llevárnoslos? De nuestra parte te es posible recibir lo siguiente: el poderío tan importante de Argos y toda la fuerza de Euristeo para apoyar a esta ciudad. Pero si te ablandas por atender las palabras y lamentos

βλέψας πεπανθῇς, ἐς πάλην καθίσταται
δορὸς τὸ πρᾶγμα: μὴ γὰρ ὡς μεθήσομεν
δόξῃς ἀγῶνος τούσδ᾽ ἄτερ χαλυβδικοῦ.
τί δῆτα φήσεις, ποῖα πεδί᾽ ἀφαιρεθείς,
τί ῥυσιασθείς, πόλεμον Ἀργείοις ἔχειν;
ποίοις δ᾽ ἀμύνων συμμάχοις, τίνος δ᾽ ὕπερ
θάψεις νεκροὺς πεσόντας; ἦ κακὸν λόγον
κτήσῃ πρὸς ἀστῶν, εἰ γέροντος οὕνεκα,
τύμβου, τὸ μηδὲν ὄντος, ὡς εἰπεῖν ἔπος,
παίδων <τε> τῶνδ᾽ ἐς ἄντλον ἐμβήσῃ πόδα:
παρεὶς τὸ λῷστον ἐλπίδ᾽ εὑρήσεις μόνον,
καὶ τοῦτο πολλῷ τοῦ παρόντος ἐνδεές.
κακῶς γὰρ Ἀργείοισιν οἵδ᾽ ὡπλισμένοις
μάχοιντ᾽ ἂν ἡβήσαντες, εἴ <τι> τοῦτό σε
ψυχὴν ἐπαίρει, χοὐν μέσῳ πολὺς χρόνος
ἐν ᾧ διεργασθεῖτ᾽ ἄν. ἀλλ᾽ ἐμοὶ πιθοῦ:
δοὺς μηδέν, ἀλλὰ τἄμ᾽ ἐῶν ἄγειν ἐμὲ
κτῆσαι Μυκήνας, μηδ᾽ ὅπερ φιλεῖτε δρᾶν
πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν
φίλους ἑλέσθαι, τοὺς κακίονας λαβεῖν.

de éstos, el asunto va a derivar en un combate de lanza. Pues no pienses que dejaremos este pleito sin contar con el hierro[8]. ¿Qué dirás, entonces? ¿De qué llanuras te habíamos privado? ¿Por defender a qué tipo de aliados, y en defensa de qué habrán caído los muertos que entierres? Realmente adquirirás mala fama ante los ciudadanos, si metes el pie en una sentina por causa de un viejo, de una tumba, de quien nada es, por decirlo así, y de estos niños. Dirás —en el caso mejor— que vas a encontrar en ellos tan sólo una esperanza. También eso está muy dudoso en la situación presente. Pues contra los argivos de mala manera podrían luchar éstos, armados, al llegar a la edad militar, si es que eso te eleva algo el espíritu. Y mucho es el tiempo de en medio, en el cual podríais ser aniquilados. Mas hazme caso. Sin darme nada, sino permitiendo qué me lleve lo mío, gánate a Micenas, y que no te pase lo que soléis hacer: que, siendo posible elegir por amigos a los mejores, prefieras a los que son peores.

Χορός

τίς ἂν δίκην κρίνειεν ἢ γνοίη λόγον,
πρὶν ἂν παρ᾽ ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς;

CORIFEO. — ¿Quién podría decidir un juicio o reconocer una razón, antes de comprender claramente el relato de ambas partes?

Ἰόλαος

ἄναξ, ὑπάρχει γὰρ τόδ᾽ ἐν τῇ σῇ χθονί,
εἰπεῖν ἀκοῦσαί τ᾽ ἐν μέρει πάρεστί μοι,
κοὐδείς μ᾽ ἀπώσει πρόσθεν, ὥσπερ ἄλλοθι.
ἡμῖν δὲ καὶ τῷδ᾽ οὐδέν ἐστιν ἐν μέσῳ:
ἐπεὶ γὰρ Ἄργους οὐ μέτεσθ᾽ ἡμῖν ἔτι,
ψήφῳ δοκῆσαν, ἀλλὰ φεύγομεν πάτραν,
πῶς ἂν δικαίως ὡς Μυκηναίους ἄγοι
ὅδ᾽ ὄντας ἡμᾶς, οὓς ἀπήλασαν χθονός;
ξένοι γάρ ἐσμεν. ἦ τὸν Ἑλλήνων ὅρον
φεύγειν δικαιοῦθ᾽ ὅστις ἂν τἄργος φύγῃ;
οὔκουν Ἀθήνας γ᾽: οὐ γὰρ Ἀργείων φόβῳ
τοὺς Ἡρακλείους παῖδας ἐξελῶσι γῆς.
οὐ γάρ τι Τραχίς ἐστιν οὐδ᾽ Ἀχαιικὸν
πόλισμ᾽, ὅθεν σὺ τούσδε, τῇ δίκῃ μὲν οὔ,
τὸ δ᾽ Ἄργος ὀγκῶν, οἷάπερ καὶ νῦν λέγεις,
ἤλαυνες ἱκέτας βωμίους καθημένους.
εἰ γὰρ τόδ᾽ ἔσται καὶ λόγους κρινοῦσι σούς,
οὐκ οἶδ᾽ Ἀθήνας τάσδ᾽ ἐλευθέρας ἔτι.

YOLAO.— Señor —esto es posible en tu tierra—, me corresponde hablar y oír por turno, y nadie me rechazará de antemano, como en otros lugares. Nosotros y éste no tenemos nada en común. Pues, una vez que no tenemos participación en Argos, por haberse decidido en un decreto, sino que estamos desterrados de nuestra patria, ¿cómo podría ser justo que nos condujera como si fuéramos de Micenas, a pesar de que estamos en esta situación nosotros, a quienes ellos expulsaron de su país? Somos extranjeros, en efecto. ¿O es que quien está desterrado de Argos es justo que esté desterrado de la frontera de los helenos? No de Atenas, por lo menos. Pues a los hijos de Heracles no los expulsarán de su tierra por miedo a los argivos. Pues no es, en absoluto, Traquis[9], ni una ciudad aquea, de donde tú, no con justicia, sino por hinchar a Argos con palabras como las que ahora dices, expulsaste a éstos

[8] Propiamente «de los Cálibes» *(Chálibes).* Los naturales de este pueblo situado en el Mar Negro pasaban por ser los primeros en haber tratado de un modo especial el hierro, consiguiendo una mezcla especialmente dura que algunos traducen por «acero».
[9] Ciudad de Tesalia, donde los Heraclidas habían pedido protección anteriormente.

ἀλλ᾽ οἶδ᾽ ἐγὼ τὸ τῶνδε λῆμα καὶ φύσιν:
θνῄσκειν θελήσουσ᾽: ἡ γὰρ αἰσχύνη <πάρος>
τοῦ ζῆν παρ᾽ ἐσθλοῖς ἀνδράσιν νομίζεται.
πόλει μὲν ἀρκεῖ: καὶ γὰρ οὖν ἐπίφθονον
λίαν ἐπαινεῖν ἐστι, πολλάκις δὲ δὴ
καὐτὸς βαρυνθεὶς οἶδ᾽ ἄγαν αἰνούμενος.
σοὶ δ᾽ ὡς ἀνάγκη τούσδε βούλομαι φράσαι
σῴζειν, ἐπείπερ τῆσδε προστατεῖς χθονός.
Πιτθεὺς μέν ἐστι Πέλοπος, ἐκ δὲ Πιτθέως
Αἴθρα, πατὴρ δ᾽ ἐκ τῆσδε γεννᾶται σέθεν
Θησεύς. πάλιν δὲ τῶνδ᾽ ἄνειμί σοι γένος.
Ἡρακλέης ἦν Ζηνὸς Ἀλκμήνη ς τε παῖς,
κείνη δὲ Πέλοπος θυγατρός. αὐτανεψίων
πατὴρ ἂν εἴη σός τε χὠ τούτων γεγώς.
γένους μὲν ἥκεις ὧδε τοῖσδε, Δημοφῶν:
ἃ δ᾽ ἐκτὸς ἤδη τοῦ προσήκοντός σε δεῖ
τεῖσαι λέγω σοι παισί: φημὶ γάρ ποτε
σύμπλους γενέσθαι τῶνδ᾽ ὑπασπίζων πατρὶ
ζωστῆρα Θησεῖ τὸν πολυκτόνον μέτα,
< >
< >
Ἅιδου τ᾽ ἐρυμνῶν ἐξανήγαγεν μυχῶν
πατέρα σόν: Ἑλλὰς πᾶσα τοῦτο μαρτυρεῖ.
ὧν ἀντιδοῦναί σ᾽ οἵδ᾽ ἀπαιτοῦσιν χάριν
[μήτ᾽ ἐκδοθῆναι μήτε πρὸς βίαν θεῶν
τῶν σῶν ἀποσπασθέντες ἐκπεσεῖν χθονός.
σοὶ γὰρ τόδ᾽ αἰσχρὸν χωρίς, ἔν τε πόλει κακόν,
ἱκέτας ἀλήτας συγγενεῖς — οἴμοι, κακῶν:
βλέψον πρὸς αὐτοὺς βλέψον — ἕλκεσθαι βίᾳ].
ἀλλ᾽ ἄντομαί σε καὶ καταστέφω χεροῖν,
μὴ πρὸς γενείου, μηδαμῶς ἀτιμάσῃς
τοὺς Ἡρακλείους παῖδας ἐς χέρας λαβεῖν:
γενοῦ δὲ τοῖσδε συγγενής, γενοῦ φίλος
πατὴρ ἀδελφὸς δεσπότης: ἅπαντα γὰρ
τἄλλ᾽ ἐστὶ κρείσσω πλὴν ὑπ᾽ Ἀργείοις πεσεῖν.

cuando estaban sentados como suplicantes junto a los altares. Pues si va a ocurrir eso y escogen tus razones, ya no considero yo libre a esta Atenas. Yo sé de la voluntad y la naturaleza de ellos. Estarán dispuestos a morir, pues entre los hombres nobles se aprecia la vergüenza antes que la vida. En cuanto a la ciudad, basta. Pues también es odioso elogiar demasiado, y sé que me he molestado personalmente muchas veces ya, por ser elogiado en exceso. Quiero explicarte qué necesario es que salves a éstos, ya que estás al frente del país. Piteo es hijo de Pélope, y de Piteo, Etra, y de ésta nació tu padre Teseo. Me remontaré, por ti, ahora al origen de estos niños. Heracles era hijo de Zeus y de Alcmena, y ésta era hija de una hija de Pélope. Tu padre y el que lo fue de éstos serían hijos de primos hermanos. Por el linaje estás relacionado de esa manera con ellos, Demofonte. Pero te digo lo que tú debes pagar a los niños aparte ya del parentesco. Afirmo, en efecto, que, siendo escudero del padre de éstos, llegué a ser compañero de viaje de Teseo en pos del ceñidor que a muchos causó la muerte[10]. A tu padre lo sacó de los rincones bien defendidos de Hades[11]. La Hélade entera lo testimoniará. Por todo eso te piden éstos que les devuelvas el favor: que no se les entregue y que no se les expulse del país tras ser arrancados de tus dioses a la fuerza. Pues es vergonzoso para ti y, además, cobarde ante la ciudad el hecho de[12] que a unos suplicantes, errantes, de tu familia, ¡ay de mí! ... —mira hacia ellos, mira— de mala manera, se les arrastre a la fuerza. Mas te suplico y te corono con mis manos, y... ¡por tu barbilla![13], de ninguna manera deshonres a los hijos de Heracles después de haberlos acogido en tus brazos. Muéstrate familiar de éstos, hazte su padre, su hermano, su amo. Cualquier cosa es mejor que caer bajo los argivos.

Χορός

ᾤκτιρ᾽ ἀκούσας τούσδε συμφορᾶς, ἄναξ.
τὴν δ᾽ εὐγένειαν τῆς τύχης νικωμένην
νῦν δὴ μάλιστ᾽ ἐσεῖδον: οἵδε γὰρ πατρὸς

CORIFEO. — Al oírlos, los he compadecido por su desgracia, señor. Ahora, precisamente, he visto el buen linaje vencido por el azar. Pues éstos

[10] Ceñidor de Hipólita, reina de las Amazonas. El noveno trabajo de Hércules consistió en apoderarse de dicho cinturón, que le había sido entregado a Hipólita por su padre Ares, como símbolo regio. Según algunos, Teseo recibió a Antíope como premio por haber participado en aquella expedición.

[11] Cuando en su duodécimo trabajo Hércules bajó al infierno para llevarse consigo a Cerbero, el monstruoso perro de tres cabezas, encontró en las puertas de la terrible mansión a Teseo y Pirítoo, encadenados allí como castigo por haber pretendido raptar a Perséfone, reina del Hades. Hércules salvó a Teseo y lo sacó del infierno.

[12] Pasaje corrupto.

[13] Palabras y gesto propios del suplicante.

ἐσθλοῦ γεγῶτες δυστυχοῦσ᾽ ἀναξίως.

tienen mala fortuna sin merecerlo, como hijos de padre noble.

Δημοφῶν

τρισσαί μ᾽ ἀναγκάζουσι συννοίας ὁδοί,
Ἰόλαε, τοὺς σοὺς μὴ παρώσασθαι λόγους:
τὸ μὲν μέγιστον Ζεὺς ἐφ᾽ οὗ σὺ βώμιος
θακεῖς νεοσσῶν τήνδ᾽ ἔχων πανήγυριν:
τὸ συγγενές τε καὶ τὸ προυφείλειν καλῶς
πράσσειν παρ᾽ ἡμῶν τούσδε πατρῴαν χάριν:
τό τ᾽ αἰσχρόν, οὗπερ δεῖ μάλιστα φροντίσαι:
εἰ γὰρ παρήσω τόνδε συλᾶσθαι βίᾳ
ξένου πρὸς ἀνδρὸς βωμόν, οὐκ ἐλευθέραν
οἰκεῖν δοκήσω γαῖαν, Ἀργείων δ᾽ ὄκνῳ
ἱκέτας προδοῦναι: καὶ τάδ᾽ ἀγχόνης πέλας.
ἀλλ᾽ ὤφελες μὲν εὐτυχέστερος μολεῖν,
ὅμως δὲ καὶ νῦν μὴ τρέσῃς ὅπως σέ τις
σὺν παισὶ βωμοῦ τοῦδ᾽ ἀποσπάσει βίᾳ.
σὺ δ᾽ Ἄργος ἐλθὼν ταῦτά τ᾽ Εὐρυσθεῖ φράσον,
πρὸς τοῖσδέ τ᾽, εἴ τι τοισίδ᾽ ἐγκαλεῖ ξένοις,
δίκης κυρήσειν: τούσδε δ᾽ οὐκ ἄξεις ποτέ.

DEMOFONTE. — Tres caminos de tu desgracia me obligan, Yolao, a no rechazar a tus extranjeros. Lo más importante, Zeus, a cuyo altar estás acogido con este conjunto de niños. El parentesco y la obligación previa por parte nuestra de hacer bien a éstos en agradecimiento a su padre. Y el honor, por el que hay que preocuparse ante todo. Pues si dejo que este altar sea saqueado a la fuerza por un extranjero, parecerá que no habito una tierra libre y que he entregado traidoramente los suplicantes a los argivos por vacilación. Y eso casi merecería la horca. Debiste haber venido con mejor fortuna; sin embargo, tampoco ahora temas que alguien te vaya a arrebatar a la fuerza de este altar en compañía de los niños. Y tú *(al Heraldo)* vete a Argos y explícale a Euristeo estas cosas y, además, que, si aparte de eso, acusa de algo a estos extranjeros, ha de obtener justicia. Pero a éstos jamás te los llevarás.

Κῆρυξ

οὐδ᾽ ἢν δίκαιον ᾖ τι καὶ νικῶ λόγῳ;

HERALDO. — ¿No, si es justo y venzo con mi argumento?

Δημοφῶν

καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίᾳ;

DEMOFONTE. — ¿Y cómo va a ser justo llevarse al suplicante por la fuerza?

Κῆρυξ

οὔκουν ἐμοὶ τόδ᾽ αἰσχρὸν ἀλλ᾽ <οὐ> σοὶ βλάβος;

HERALDO. — ¿No es verdad que resultará una vergüenza para mí y, en cambio, no será un perjuicio para ti?

Δημοφῶν

ἐμοί γ᾽, ἐάν σοι τούσδ᾽ ἐφέλκεσθαι μεθῶ.

DEMOFONTE. — Para mí sí, en caso de que te consienta que arrastres a éstos.

Κῆρυξ

σὺ δ᾽ ἐξόριζε, κᾆτ᾽ ἐκεῖθεν ἄξομεν.

HERALDO. — Tú échalos de tus fronteras, y, luego, desde allí nos los llevaremos.

Δημοφῶν

σκαιὸς πέφυκας τοῦ θεοῦ πλείω φρονῶν.

DEMOFONTE. — Eres torpe de nacimiento, si albergas proyectos que corrijan los de la divinidad.

Κῆρυξ

δεῦρ’, ὡς ἔοικε, τοῖς κακοῖσι φευκτέον.

HERALDO. — Los malvados han de huir, según parece, hacia aquí.

Δημοφῶν

ἅπασι κοινὸν ῥῦμα δαιμόνων ἕδρα.

DEMOFONTE. — La sede de los dioses es una defensa común para todos.

Κῆρυξ

ταῦτ’ οὐ δοκήσει τοῖς Μυκηναίοις ἴσως.

HERALDO. — A los de Micenas no les parecerá así, seguramente.

Δημοφῶν

οὔκουν ἐγὼ τῶν ἐνθάδ’ εἰμὶ κύριος;

DEMOFONTE. — ¿No es verdad que yo soy señor de los de aquí?

Κῆρυξ

βλάπτων <γ’> ἐκείνους μηδὲν ἢν σὺ σωφρονῇς.

HERALDO. — Sí, si no dañas a aquéllos en nada, caso de que seas prudente.

Δημοφῶν

βλάπτεσθ’, ἐμοῦ γε μὴ μιαίνοντος θεούς.

DEMOFONTE. — Sufrid daño, con tal que yo, al menos, no ultraje a los dioses.

Κῆρυξ

οὐ βούλομαί σε πόλεμον Ἀργείοις ἔχειν.

HERALDO. — No quiero que tú sostengas una guerra contra los argivos.

Δημοφῶν

κἀγὼ τοιοῦτος: τῶνδε δ’ οὐ μεθήσομαι.

DEMOFONTE. — También yo soy de tal opinión. Pero no me despreocuparé de éstos.

Κῆρυξ

ἄξω γε μέντοι τοὺς ἐμοὺς ἐγὼ λαβών.

HERALDO. — Me los llevaré, en verdad, tomando a quienes son míos.

Δημοφῶν

οὐκ ἆρ’ ἐς Ἄργος ῥᾳδίως ἄπει πάλιν.

DEMOFONTE. — Entonces no te vas a ir fácilmente hacia Argos.

Κῆρυξ

πειρώμενος δὴ τοῦτό γ’ αὐτίκ’ εἴσομαι.

HERALDO. — Haciendo la prueba lo sabré al punto.

Δημοφῶν

κλαίων ἄρ’ ἅψῃ τῶνδε κοὐκ ἐς ἀμβολάς.

DEMOFONTE. — Pues si los tocas, llorarás y no a largo plazo.

Χορός

μὴ πρὸς θεῶν κήρυκα τολμήσῃς θενεῖν.

HERALDO. — No te atrevas, por los dioses, a golpear a un heraldo.

Δημοφῶν

εἰ μή γ᾽ ὁ Κῆρυξ σωφρονεῖν μαθήσεται.

DEMOFONTE. — Sí, si el heraldo no aprende a ser prudente.

Χορός

ἄπελθε: καὶ σὺ τοῦδε μὴ θίγῃς, ἄναξ.

CORIFEO. — Vete. *(Al Heraldo.)* Y tú, señor, no le pongas las manos encima.

Κῆρυξ

στείχω: μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη.
ἥξω δὲ πολλὴν Ἄρεος Ἀργείου λαβὼν
πάγχαλκον αἰχμὴν δεῦρο. μυρίοι δέ με
μένουσιν ἀσπιστῆρες Εὐρυσθεύς τ᾽ ἄναξ
αὐτὸς στρατηγῶν: Ἀλκάθου δ᾽ ἐπ᾽ ἐσχάτοις
καραδοκῶν τἀνθένδε τέρμασιν μένει.
λαμπρὸς δ᾽ ἀκούσας σὴν ὕβριν φανήσεται
σοὶ καὶ πολίταις γῇ τε τῇδε καὶ φυτοῖς:
μάτην γὰρ ἥβην ὧδέ γ᾽ ἂν κεκτῄμεθα
πολλὴν ἐν Ἄργει, μή σε τιμωρούμενοι.

HERALDO. — Me marcho. Pues débil es el combate de una sola mano. Pero vendré aquí con numeroso batallón, todo armado de bronce, de Ares argivo[14]. Innumerables guerreros con escudo me esperan y también mi señor Euristeo que conduce el ejército en persona. Aguardando con impaciencia noticias de aquí espera en la mismísima frontera de Alcátoo[15]. Cuando sepa tu insolencia aparecerá centelleante contra ti, tus ciudadanos, esta tierra y sus cultivos. Pues en vano poseeríamos en Argos tan numerosa juventud en edad militar, si no nos vengáramos de ti.

Δημοφῶν

φθείρου: τὸ σὸν γὰρ Ἄργος οὐ δέδοικ᾽ ἐγώ.
ἐνθένδε δ᾽ οὐκ ἔμελλες αἰσχύνας ἐμὲ
ἄξειν βίᾳ τούσδ᾽: οὐ γὰρ Ἀργείων πόλιν
ὑπήκοον τήνδ᾽ ἀλλ᾽ ἐλευθέραν ἔχω.

DEMOFONTE. — Así te mueras. No temo yo a tu Argos. No ibas a llevarte a éstos de aquí por la fuerza, haciéndome sentir vergüenza. Pues no tengo yo a esta ciudad por vasalla de la de los argivos, sino por libre.

Χορός

ὥρα προνοεῖν, πρὶν ὅροις πελάσαι
στρατὸν Ἀργείων:
μάλα δ᾽ ὀξὺς Ἄρης ὁ Μυκηναίων,
ἐπὶ τοῖσι δὲ δὴ μᾶλλον ἔτ᾽ ἢ πρίν.
πᾶσι γὰρ οὗτος κήρυξι νόμος,
δὶς τόσα πυργοῦν τῶν γιγνομένων.
πόσα νιν λέξειν βασιλεῦσι δοκεῖς,
ὡς δείν᾽ ἔπαθεν καὶ παρὰ μικρὸν
ψυχὴν ἦλθεν διακναῖσαι;

CORO. — *Es hora de tomar medidas, antes que el ejército de los argivos se acerque a la frontera. Muy irascible es el Ares*[16] *de los de Micenas, y con esto más todavía que antes. Pues todos los heraldos tienen la costumbre de exagerar dos veces más de lo ocurrido. ¿Cuántas veces piensas tú que le dirá a su rey que lo pasó horrible y estuvo a punto de dejar la piel?*

Ἰόλαος

οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι:
[γαμεῖν τ᾽ ἀπ᾽ ἐσθλῶν: ὃς δὲ νικηθεὶς πόθῳ
κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω,

YOLAO. — No existe para los hijos mejor honor que haber nacido de un padre noble y bueno y tomar una esposa hija de padres nobles. No elogiaré a quien, vencido por el deseo, tiene

[14] Ares, dios de la guerra, tomado aquí por la guerra misma.
[15] Alcátoo, hijo de Pélope e Hipodamía, era rey de Mégara.
[16] Es decir, el instinto belicoso.

τέκνοις ὄνειδος οὕνεχ᾽ ἡδονῆς λιπεῖν:]
τὸ δυστυχὲς γὰρ ηὑγένει᾽ ἀμύνεται
τῆς δυσγενείας μᾶλλον: ἡμεῖς γὰρ κακῶν
ἐς τοὔσχατον πεσόντες ηὕρομεν φίλους
καὶ ξυγγενεῖς τούσδ᾽, οἳ τοσῆσδ᾽ οἰκουμένης
Ἑλληνίδος γῆς τῶνδε προὔστησαν μόνοι.
δότ᾽, ὦ τέκν᾽, αὐτοῖς χεῖρα δεξιάν, δότε,
ὑμεῖς τε παισί, καὶ πέλας προσέλθετε.
ὦ παῖδες, ἐς μὲν πεῖραν ἤλθομεν φίλων:
ἢν δ᾽ οὖν ποθ᾽ ὑμῖν νόστος ἐς πάτραν φανῇ
καὶ δώματ᾽ οἰκήσητε καὶ τιμὰς πατρὸς
< πάλιν λάβητε, τῆσδε κοιράνους χθονὸς>
σωτῆρας αἰεὶ καὶ φίλους νομίζετε,
καὶ μήποτ᾽ ἐς γῆν ἐχθρὸν αἴρεσθαι δόρυ
μέμνησθέ μοι τήνδ᾽, ἀλλὰ φιλτάτην πόλιν
πασῶν νομίζετ᾽. ἄξιοι δ᾽ ὑμῖν σέβειν
οἳ γῆν τοσήνδε καὶ Πελασγικὸν λεὼν
ἡμῶν ἐνηλλάξαντο πολεμίους ἔχειν,
πτωχοὺς ἀλήτας εἰσορῶντες ἀλλ᾽ ὅμως
[οὐκ ἐξέδωκαν οὐδ᾽ ἀπήλασαν χθονός].
ἐγὼ δὲ καὶ ζῶν <εὐγενῆ σ᾽ οὐ παύσομαι
πᾶσιν προφαίνων> καὶ θανών, ὅταν θάνω,
πολλῷ σ᾽ ἐπαίνῳ Θησέως ἐστὼς πέλας
ὑψηλὸν ἀρῶ καὶ λέγων τάδ᾽ εὐφρανῶ,
ὡς εὖ τ᾽ ἐδέξω καὶ τέκνοισιν ἤρκεσας
τοῖς Ἡρακλείοις, εὐγενὴς δ᾽ ἀν᾽ Ἑλλάδα
σῴζεις πατρῴαν δόξαν, ἐξ ἐσθλῶν δὲ φὺς
οὐδὲν κακίων τυγχάνεις γεγὼς πατρός,
παύρων μετ᾽ ἄλλων: ἕνα γὰρ ἐν πολλοῖς ἴσως
εὕροις ἂν ὅστις ἐστὶ μὴ χείρων πατρός.

en común con los malvados dejar un deshonor a sus hijos a causa de su placer. Pues a la desventura la aparta mejor el buen linaje que el oscuro. En efecto, habiendo caído nosotros en la última de las desgracias, hemos encontrado estos amigos y parientes, los únicos en tanta tierra helena habitada que se han hecho cargo de los aquí presentes. Dadles la mano derecha, hijos, dádsela. También vosotros a los niños y acercaos.
¡Oh hijos! Hemos llegado a una prueba de amigos. Si un día alumbra para vosotros el regreso a la patria y poseéis el palacio y los honores de vuestro padre, consideradlos siempre salvadores y amigos y, acordándoos de esto, jamás alcéis una lanza enemiga contra su país, sino considerad su ciudad la más amiga de todas. Para vosotros son dignos de ser honrados aquellos que nos han librado de tener por enemigos una tierra tan grande y al pueblo pelasgo, al vernos como mendigos errantes. Pero, sin embargo, no nos entregaron ni expulsaron del país. Yo, tanto vivo como muerto, cuando muera, con gran elogio te ensalzaré, oh amigo, cerca de Teseo y lo alegraré diciéndole que acogiste bien y protegiste a los hijos de Heracles; que, como bien nacido, conservas por la Hélade la fama de tu padre, y que, nacido de padres nobles, en nada te has vuelto, por ventura, peor que tu padre, junto con otros pocos. Pues entre muchos apenas se puede encontrar a uno que no sea inferior a su padre.

Χορός

ἀεί ποθ᾽ ἥδε γαῖα τοῖς ἀμηχάνοις
σὺν τῷ δικαίῳ βούλεται προσωφελεῖν.
τοιγὰρ πόνους δὴ μυρίους ὑπὲρ φίλων
ἤνεγκε, καὶ νῦν τόνδ᾽ ἀγῶν᾽ ὁρῶ πέλας.

CORIFEO. — Desde siempre esta tierra decidió ayudar a la gente apurada a quien asiste el derecho. Por ello ha soportado ya infinitos trabajos en defensa de los amigos; y también ahora veo aquí cercana la contienda.

Δημοφῶν

σοί τ᾽ εὖ λέλεκται καὶ τὰ τῶνδ᾽ αὐχῶ, γέρον,
τοιαῦτ᾽ ἔσεσθαι: μνημονεύσεται χάρις.
κἀγὼ μὲν ἀστῶν σύλλογον ποιήσομαι,
τάξω δ᾽, ὅπως ἂν τὸν Μυκηναίων στρατὸν
πολλῇ δέχωμαι χειρί: πρῶτα μὲν σκοποὺς
πέμψω πρὸς αὐτόν, μὴ λάθῃ με προσπεσών:
ταχὺς γὰρ Ἄργει πᾶς ἀνὴρ βοηδρόμος:
μάντεις δ᾽ ἀθροίσας θύσομαι. σὺ δ᾽ ἐς δόμους
σὺν παισὶ χώρει, Ζηνὸς ἐσχάραν λιπών.
εἰσὶν γὰρ οἵ σου, κἂν ἐγὼ θυραῖος ὦ,
μέριμναν ἕξουσ᾽. ἀλλ᾽ ἴθ᾽ ἐς δόμους, γέρον.

DEMOFONTE. — Bien has hablado y presumo, anciano, que luego éstos se portarán de tal modo. Se recordará el favor. Y yo haré una reunión de ciudadanos y los alinearé para recibir con numerosa tropa el ejército de los de Micenas. Primero mandaré espías hacia él, para que no me sorprenda en su ataque. Pues en Argos presto está todo hombre para acudir a la alarma. Tras reunir a los adivinos haré un sacrificio. Y tú marcha a palacio con los niños, dejando el altar de Zeus. Pues hay personas que se encarguen de tu cuidado,

aunque yo esté ausente. Ea, ve a palacio, anciano.

Ἰόλαος

οὐκ ἂν λίποιμι βωμόν: εὐξόμεσθα δὲ
ἱκέται μένοντες ἐνθάδ’ εὖ πρᾶξαι πόλιν:
ὅταν δ’ ἀγῶνος τοῦδ’ ἀπαλλαχθῇς καλῶς,
ἴμεν πρὸς οἴκους. θεοῖσι δ’ οὐ κακίοσιν
χρώμεσθα συμμάχοισιν Ἀργείων, ἄναξ:
τῶν μὲν γὰρ Ἥρα προστατεῖ, Διὸς δάμαρ,
ἡμῶν δ’ Ἀθάνα. φημὶ δ’ εἰς εὐπραξίαν
καὶ τοῦθ’ ὑπάρχειν, θεῶν ἀμεινόνων τυχεῖν:
νικωμένη γὰρ Παλλὰς οὐκ ἀνέξεται.

YOLAO. — No podría yo dejar el altar. Sentémonos ya aguardando aquí suplicantes para que tenga buen éxito la ciudad. Cuando se libre gloriosamente de esta contienda, iremos a tu palacio. Tenemos por aliados dioses no peores que los de los argivos, señor. Pues patrona de ellos es Hera, esposa de Zeus, y de nosotros, Atenea. Afirmo que también cuenta eso para el buen éxito: conseguir el favor de unos dioses mejores. Que Palas no soportará ser vencida.

ESTÁSIMO1.º. (353-380).

Χορός

εἰ σὺ μέγ’ αὐχεῖς, ἕτεροι
σοῦ πλέον οὐ μέλονται,
ξεῖν’ <ἀπ’> Ἀργόθεν ἐλθών,
μεγαληγορίαισι δ’ ἐμὰς
φρένας οὐ φοβήσεις.
μήπω ταῖς μεγάλαισιν οὕ-
τω καὶ καλλιχόροις Ἀθά-
ναις εἴη: σὺ δ’ ἄφρων, ὅ τ’ Ἄρ-
γει Σθενέλου τύραννος.

CORO.

Estrofa.

Si tú te jactas mucho, otros no se preocupan más por ti, ¡oh extranjero que viniste de Argos! No asustarás mi corazón con tus orgullosas palabras. Jamás ocurra así en Atenas la de grandes y hermosas danzas. Y tú eres insensato, como el rey de Argos, hijo de Esténelo[17].

Χορός

ὃς πόλιν ἐλθὼν ἑτέραν
οὐδὲν ἐλάσσον’ Ἄργους,
θεῶν ἱκτῆρας ἀλάτας
καὶ ἐμᾶς χθονὸς ἀντομένους ξένος ὢν βιαίως
ἕλκεις, οὐ βασιλεῦσιν εἴ-
ξας, οὐκ ἄλλο δίκαιον εἰ-
πών: ποῦ ταῦτα καλῶς ἂν εἴ-
η παρά γ’ εὖ φρονοῦσιν;

Antístrofa.

Tú que, habiendo llegado a otra ciudad en nada inferior a Argos, a unos suplicantes de los dioses, errantes y que imploran a mi país, aun siendo tú un extranjero, tratas de arrastrarlos violentamente, sin ceder ante el rey, sin decir otro motivo. ¿Dónde podría estar eso bien, entre gente sensata al menos?

Χορός

εἰρήνα μὲν ἐμοί γ’ ἀρέ-
σκει: σοὶ δ’, ὦ κακόφρων ἄναξ,
λέγω, εἰ πόλιν ἥξεις,
οὐχ οὕτως ἃ δοκεῖς κυρή-
σεις: οὐ σοὶ μόνῳ ἔγχος οὐδ’
ἰτέα κατάχαλκος.
ἀλλ’, ὦ πολέμων ἐρα-
στά, μή μοι δορὶ συνταρά-
ξῃς τὰν εὖ χαρίτων ἔχου-
σαν πόλιν, ἀλλ’ ἀνάσχου.

Epodo.

La paz me gusta. Pero tú, oh rey malévolo, digo que si llegas a mi ciudad, no obtendrás así lo que piensas. Pues no eres el único que tienes lanza y escudo todo de bronce. Ea, amante de las guerras: que no me perturbarás con tu lanza a la ciudad bien dotada de gracias. Contente, entonces.

[17] Realmente el Coro habla sólo al heraldo, pero en el juego verbal subyace una deliberada confusión entre el heraldo y la persona a quien representa: el rey de Argos, es decir, Euristeo, hijo de Esténelo, quien lo era, por su parte, de Perseo y Andrómeda.

Ἰόλαος

ὦ παῖ, τί μοι σύννοιαν ὄμμασιν φέρων
ἥκεις; νέον τι πολεμίων λέξεις πέρι;
μέλλουσιν ἢ πάρεισιν ἢ τί πυνθάνῃ;
οὐ γάρ τι μὴ ψεύσῃς γε κήρυκος λόγους:
ὁ γὰρ στρατηγὸς εὐτυχὴς τὰ πρόσθεν ὢν
εἶσιν, σάφ᾽ οἶδα, καὶ μάλ᾽ οὐ σμικρὸν φρονῶν,
ἐς τὰς Ἀθήνας. ἀλλά τοι φρονημάτων
ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.

EPISODIO 2.º (381-607).

YOLAO. — ¡Oh hijo! ¿Por qué acudes ante mí con preocupación en tus ojos? ¿Traes alguna novedad sobre los enemigos? ¿Están a punto de venir? ¿Están presentes o de qué te has informado? Pues en absoluto van a resultarte engañosas las palabras del heraldo. En efecto, el estratego es afortunado en lo que depende de los dioses[18], bien lo sé, y no tiene, por cierto, humildes propósitos respecto a Atenas. Pero Zeus es buen reparador de las audacias de los demasiado soberbios.

Δημοφῶν

ἥκει στράτευμ᾽ Ἀργεῖον Εὐρυσθεύς τ᾽ ἄναξ:
ἐγώ νιν αὐτὸς εἶδον. ἄνδρα γὰρ χρεών,
ὅστις στρατηγεῖν φησ᾽ ἐπίστασθαι καλῶς,
οὐκ ἀγγέλοισι τοὺς ἐναντίους ὁρᾶν.
πεδία μὲν οὖν γῆς ἐς τάδ᾽ οὐκ ἐφῆκέ πω
στρατόν, λεπαίαν δ᾽ ὀφρύην καθήμενος
σκοπεῖ （δόκησιν δὴ τόδ᾽ ἂν λέγοιμί σοι）
ποίᾳ προσάξει στρατόπεδον τοσόνδ᾽ ὅροις
ἐν ἀσφαλεῖ τε τῆσδ᾽ ἱδρύσεται χθονός.
καὶ τἀμὰ μέντοι πάντ᾽ ἄραρ᾽ ἤδη καλῶς:
πόλις τ᾽ ἐν ὅπλοις, σφάγιά θ᾽ ἡτοιμασμένα
ἕστηκεν οἷς χρὴ ταῦτα τέμνεσθαι θεῶν,
θυηπολεῖται δ᾽ ἄστυ μάντεων ὕπο.
χρησμῶν δ᾽ ἀοιδοὺς πάντας εἰς ἓν ἁλίσας
ἤλεγξα καὶ βέβηλα καὶ κεκρυμμένα
[λόγια παλαιά, τῇδε γῇ σωτήρια].
καὶ τῶν μὲν ἄλλων διάφορ᾽ ἐστὶ θεσφάτοις
πόλλ᾽: ἓν δὲ πᾶσι γνῶμα ταὐτὸν ἐμπρέπει:
σφάξαι κελεύουσίν με παρθένον κόρῃ
Δήμητρος, ἥτις ἐστὶ πατρὸς εὐγενοῦς,
τροπαῖά τ᾽ ἐχθρῶν καὶ πόλει σωτήριαν.
ἐγὼ δ᾽ ἔχω μέν, ὡς ὁρᾷς, προθυμίαν
τοσήνδ᾽ ἐς ὑμᾶς: παῖδα δ᾽ οὔτ᾽ ἐμὴν κτενῶ
οὔτ᾽ ἄλλον ἀστῶν τῶν ἐμῶν ἀναγκάσω
ἄκονθ᾽: ἑκὼν δὲ τίς κακῶς οὕτω φρονεῖ,
ὅστις τὰ φίλτατ᾽ ἐκ χερῶν δώσει τέκνα;
καὶ νῦν πυκνὰς ἂν συστάσεις ἂν εἰσίδοις,
τῶν μὲν λεγόντων ὡς δίκαιον ἦν ξένοις
ἱκέταις ἀρήγειν, τῶν δὲ μωρίαν ἐμοῦ
κατηγορούντων: εἰ δὲ δὴ δράσω τόδε,
οἰκεῖος ἤδη πόλεμος ἐξαρτύεται.
ταῦτ᾽ οὖν ὅρα σὺ καὶ συνεξεύρισχ᾽ ὅπως

DEMOFONTE. — Ha llegado el ejército argivo y su señor Euristeo. Yo mismo lo he visto. Pues es necesario que un hombre que afirma que sabe conducir perfectamente un ejército no observe a los enemigos mediante mensajeros. Ahora bien, todavía no ha lanzado el ejército hacia esta llanura del país, sino que, sentado en una altura rocosa, observa —esto te lo digo ya como opinión— por dónde introducirá su ejército sin lucha[19] y lo asentará con seguridad en esta tierra. Y, sin embargo, también lo mío está ya dispuesto de forma conveniente. La ciudad en armas; las víctimas están en pie, preparadas para los dioses a quienes sea preciso degollarlas; la ciudad por mano de los adivinos hace sacrificios: trofeos sobre los enemigos y medios de salvación para la ciudad; tras reunir en un solo punto todos los cantores de oráculos, los he comprobado, y también las antiguas respuestas de los oráculos, tanto las profanas como las ocultas, medios de salvación para este país. Muchas son las diferencias de las profecías restantes, mas de entre todas destaca una sola e idéntica opinión. Mandan que yo degüelle en honor de Core[20], hija de Deméter, una doncella que sea hija de padre de buen origen. Yo tengo, como ves, un afán muy grande hacia vosotros, pero no voy a matar a mi hija ni obligaré a ningún otro de mis ciudadanos a pesar suyo. Pues, ¿quién, de propia voluntad, razona tan mal que entregue de sus manos a sus hijos muy queridos? Ya, ahora, pueden verse amargas reuniones, diciendo unos que era justo defender a los extranjeros suplicantes, pero acusándome otros de locura. Si,

[18] El texto ofrece dificultades. Una buena enmienda es la de TYRWHITT: *tá prósthen ón* «en lo anterior».

[19] Es una conjetura. El pasaje está corrupto al parecer.

[20] Apelativo de Perséfone. Equivale á «la muchacha». En época histórica el sacrificio no se practicaba entre los griegos. Eurípides lo utiliza con frecuencia, referido a tiempos pretéritos.

αὐτοί τε σωθήσεσθε καὶ πέδον τόδε,
κἀγὼ πολίταις μὴ διαβληθήσομαι.
οὐ γὰρ τυραννίδ᾽ ὥστε βαρβάρων ἔχω:
ἀλλ᾽, ἢν δίκαια δρῶ, δίκαια πείσομαι.

además, hago eso, se suscitaría una guerra intestina. Pues bien, mira tú eso y descubre a la vez cómo os salvaréis vosotros y este suelo y no seré yo objeto de calumnia ante los ciudadanos. Porque no tengo yo una tiranía como sobre bárbaros; sino que si hago cosas justas, cosas justas me pasarán.

Χορός

ἀλλ᾽ ἦ πρόθυμον οὖσαν οὐκ ἐᾷ θεὸς
ξένοις ἀρήγειν τήνδε χρῄζουσιν πόλιν;

CORIFEO. — ¿Pero es que, aun estando decidida, un dios no le permite ayudar a los extranjeros a esta ciudad que lo solicita?

Ἰόλαος

ὦ τέκν᾽, ἔοιγμεν ναυτίλοισιν, οἵτινες
χειμῶνος ἐκφυγόντες ἄγριον μένος
ἐς χεῖρα γῇ συνῆψαν, εἶτα χερσόθεν
πνοιαῖσιν ἠλάθησαν ἐς πόντον πάλιν.
οὕτω δὲ χἠμεῖς τῆσδ᾽ ἀπωθούμεσθα γῆς
ἤδη πρὸς ἀκταῖς ὄντες ὡς σεσωμένοι.
οἴμοι: τί δῆτ᾽ ἔτερψας ὦ τάλαινά με
ἐλπὶς τότ᾽, οὐ μέλλουσα διατελεῖν χάριν;
συγγνωστὰ γάρ τοι καὶ τὰ τοῦδ᾽, εἰ μὴ θέλει
κτείνειν πολιτῶν παῖδας: αἰνέσαι δ᾽ ἔχω
καὶ τἀνθάδ᾽: εἰ θεοῖσι δὴ δοκεῖ τάδε
πράσσειν ἔμ᾽, οὔτοι σοί γ᾽ ἀπόλλυται χάρις.
ὦ παῖδες, ὑμῖν δ᾽ οὐκ ἔχω τί χρήσομαι.
ποῖ τρεψόμεσθα; τίς γὰρ ἄστεπτος θεῶν;
ποῖον δὲ γαίας ἕρκος οὐκ ἀφίγμεθα;
ὀλούμεθ᾽, ὦ τέκν᾽: ἐκδοθησόμεσθα δή.
κἀμοῦ μὲν οὐδὲν εἴ με χρὴ θανεῖν μέλει,
πλὴν εἴ τι τέρψω τοὺς ἐμοὺς ἐχθροὺς θανών:
ὑμᾶς δὲ κλαίω καὶ κατοικτίρω, τέκνα,
καὶ τὴν γεραιὰν μητέρ᾽ Ἀλκμήνην πατρός.
ὦ δυστάλαινα τοῦ μακροῦ βίου σέθεν,
τλήμων δὲ κἀγὼ πολλὰ μοχθήσας μάτην.
χρῆν χρῆν ἄρ᾽ ἡμᾶς ἀνδρὸς εἰς ἐχθροῦ χέρας
πεσόντας αἰσχρῶς καὶ κακῶς λιπεῖν βίον.
ἀλλ᾽ οἶσθ᾽ ὅ μοι σύμπραξον: οὐχ ἅπασα γὰρ
πέφευγεν ἐλπὶς τῶνδέ μοι σωτηρίας:
ἔμ᾽ ἔκδος Ἀργείοισιν ἀντὶ τῶνδ᾽, ἄναξ,
καὶ μήτε κινδύνευε, σωθήτω τέ μοι
τέκν᾽: οὐ φιλεῖν δεῖ τὴν ἐμὴν ψυχήν: ἴτω.
μάλιστα δ᾽ Εὐρυσθεύς με βούλοιτ᾽ ἂν λαβὼν
τὸν Ἡράκλειον σύμμαχον καθυβρίσαι:
σκαιὸς γὰρ ἀνήρ. τοῖς σοφοῖς δ᾽ εὐκτὸν σοφῷ
ἔχθραν συνάπτειν, μὴ ἀμαθεῖ φρονήματι:

YOLAO. — ¡Oh Dios! Nos parecemos a navegantes que, tras escapar de la salvaje furia de la tempestad, se acercan a tierra hasta poderla tocar con la mano, y, luego, desde tierra firme son empujados de nuevo al mar por los vientos. Así, también nosotros somos rechazados de este país cuando estábamos ya en la costa creyéndonos a salvo. ¡Ay de mí! ¿Por qué, entonces, me has deleitado, oh cruel esperanza, cuando no ibas a terminar el favor? Pues perdonable, por cierto, es también su negativa, si no quiere matar a los hijos de los ciudadanos. También estoy satisfecho con lo de aquí. Si a los dioses les parece bien que a mí me ocurra eso, el agradecimiento hacia ti no desaparece. ¡Oh hijos! No sé qué hacer con vosotros. ¿Adónde nos volveremos? ¿Cuál de los dioses está sin corona?[21] ¿A la frontera de qué país no hemos llegado? Vamos a perecer, ah hijos. Vamos a ser entregados ya. Y por mí nada importa, si es que he de morir, salvo que cause algún deleite a mis enemigos al morir. Por vosotros lloro y os compadezco, hijos, y a Alcmena, la anciana madre de vuestro padre. ¡Oh desdichada por tu larga vida, e infeliz también yo, que he padecido mucho en vano! Era preciso, era preciso, desde luego, que nosotros, al caer en las manos del enemigo, hubiéramos dejado la vida de modo vergonzoso y desgraciado. Pero, ¿sabes en lo que has de ayudarme? Aún no se me ha escapado por completo la esperanza puesta en la salvación de éstos. Entrégame a mí a los argivos en lugar de ellos, señor. No corras peligro, y sálvame a los niños. No debemos apreciar mi vida. ¡Que concluya! Euristeo querrá ante todo, una vez que me aprese, aplicar su insolencia contra el

[21] Los suplicantes dejaban las coronas, con que se adornaban, encima del altar de los dioses a quienes impetraban, hasta que sus peticiones eran atendidas.

πολλῆς γὰρ αἰδοῦς καὶ δίκης τις ἂν τύχοι.

aliado de Heracles. Pues es un hombre brutal. Para los sabios es cosa deseable trabar enemistad con un sabio, pero no con un espíritu embrutecido. Así podría conseguir uno mucho respeto y justicia.

Χορός

ὦ πρέσβυ, μή νυν τῶνδ᾽ ἐπαιτιῶ πόλιν:
τάχ᾽ ἂν γὰρ ἡμῖν ψευδὲς ἀλλ᾽ ὅμως κακὸν
γένοιτ᾽ ὄνειδος ὡς ξένους προυδώκαμεν.

CORIFEO. — ¡Oh anciano! Que no acuse yo, entonces, a esta ciudad. Pues quizá podría sobrevenirnos el reproche, mentiroso pero, no obstante, dañoso, de que hemos traicionado a los extranjeros.

Δημοφῶν

γενναῖα μὲν τάδ᾽ εἶπας, ἀλλ᾽ ἀμήχανα.
οὐ σοῦ χατίζων δεῦρ᾽ ἄναξ στρατηλατεῖ
(τί γὰρ γέροντος ἀνδρὸς Εὐρυσθεῖ πλέον
θανόντος;) ἀλλὰ τούσδε βούλεται κτανεῖν.
δεινὸν γὰρ ἐχθροῖς βλαστάνοντες εὐγενεῖς,
νεανίαι τε καὶ πατρὸς μεμνημένοι
λύμας: ἃ κεῖνον πάντα προσκοπεῖν χρεών.
ἀλλ᾽, εἴ τιν᾽ ἄλλην οἶσθα καιριωτέραν
βουλήν, ἑτοίμαζ᾽, ὡς ἔγωγ᾽ ἀμήχανος
χρησμῶν ἀκούσας εἰμὶ καὶ φόβου πλέως.

DEMOFONTE.- Noble es lo que has dicho, pero ineficaz. Ese jefe no conduce hacia aquí su ejército para reclamarte a ti. Pues, ¿qué más le da a Euristeo que muera un anciano? Sino que quiere matar a éstos. Que para los enemigos es cosa terrible que crezcan como hijos de buena casta, jóvenes y con el recuerdo del ultraje contra su padre. Todo lo cual es preciso que lo observe él. Mas si sabes alguna decisión más oportuna, prepárala, que yo estoy perplejo, tras oír los oráculos, y lleno de temor.

Παρθένος

ξένοι, θράσος μοι μηδὲν ἐξόδοις ἐμαῖς
προσθῆτε: πρῶτον γὰρ τόδ᾽ ἐξαιτήσομαι:
γυναικὶ γὰρ σιγή τε καὶ τὸ σωφρονεῖν
κάλλιστον εἴσω θ᾽ ἥσυχον μένειν δόμων.
τῶν σῶν δ᾽ ἀκούσασ᾽, Ἰόλεως, στεναγμάτων
ἐξῆλθον, οὐ ταχθεῖσα πρεσβεύειν γένους:
ἀλλ᾽, εἰμὶ γάρ πως πρόσφορος, μέλει δέ μοι
μάλιστ᾽ ἀδελφῶν τῶνδε κἀμαυτῆς πέρι,
θέλω πυθέσθαι μὴ 'πὶ τοῖς πάλαι κακοῖς
προσκείμενόν τι πῆμα σὴν δάκνει φρένα.

MACARIA. — Extranjeros, no atribuyáis ninguna osadía a mi salida. Esto es lo primero que os pido. Pues para una mujer lo más hermoso es, junto al silencio, el ser prudente y permanecer tranquila dentro de casa. Al haber escuchado tus gemidos he salido, Yolao, no porque se me haya encargado hacer de embajadora de mi estirpe. Pero, realmente, soy, de alguna manera, adecuada; me preocupo, la que más, por mis hermanos y quiero informarme sobre ellos y sobre mí misma por si alguna pena, añadida a las desgracias de antes, muerde tu corazón.

Ἰόλαος

ὦ παῖ, μάλιστα σ᾽ οὐ νεωστὶ δὴ τέκνων
τῶν Ἡρακλείων ἐνδίκως αἰνεῖν ἔχω.
ἡμῖν δὲ δόξας εὖ προχωρῆσαι δρόμος
πάλιν μεθέστηκ᾽ αὖθις ἐς τἀμήχανον:
χρησμῶν γὰρ ᾠδούς φησι σημαίνειν ὅδε,
οὐ ταῦρον οὐδὲ μόσχον ἀλλὰ παρθένον
σφάξαι Κόρῃ Δήμητρος ἥτις εὐγενής,
εἰ χρὴ μὲν ἡμᾶς, χρὴ δὲ τήνδ᾽ εἶναι πόλιν.
ταῦτ᾽ οὖν ἀμηχανοῦμεν: οὔτε γὰρ τέκνα
σφάξειν ὅδ᾽ αὑτοῦ φησιν οὔτ᾽ ἄλλου τινός.
κἀμοὶ λέγει μὲν οὐ σαφῶς, λέγει δέ πως,

YOLAO. — ¡Oh hija! Con justicia te puedo elogiar, y no desde hace poco, más que a ninguno de los hijos de Heracles. Nuestra casa, a pesar de que nos había dado la impresión de marchar bien, ha derivado otra vez hacia lo que no tiene remedio. En efecto, afirma éste que los cantores de oráculos dan señales para que degüellen en honor de Core, la hija de Deméter, no un toro ni una ternera, sino una doncella que sea de buen linaje, si es que se pretende que subsistamos nosotros, y es preciso que exista esta

εἰ μή τι τούτων ἐξαμηχανήσομεν,
ἡμᾶς μὲν ἄλλην γαῖαν εὑρίσκειν τινά,
αὐτὸς δὲ σῶσαι τήνδε βούλεσθαι χθόνα.

ciudad. Ahora bien, estamos perplejos con esto. Pues éste afirma que ni va a degollar a sus propios hijos ni a los de ningún otro, y a mí me dice, no a las claras, pero lo dice de algún modo, que, si no encontramos alguna salida de esto, busquemos algún otro país, y que él quiere salvar esta tierra.

Παρθένος

ἐν τῷδε κἀχόμεσθα σωθῆναι λόγῳ;

MACARIA. — ¿Dependemos tan sólo de ese argumento para ser salvados?

Ἰόλαος

ἐν τῷδε, τἄλλα γ᾽ εὐτυχῶς πεπραγότες.

YOLAO. — De ése, pues en lo demás hemos tenido buena suerte.

Παρθένος

μή νυν τρέσῃς ἔτ᾽ ἐχθρὸν Ἀργείων δόρυ:
ἐγὼ γὰρ αὐτὴ πρὶν κελευσθῆναι, γέρον,
θνῄσκειν ἑτοίμη καὶ παρίστασθαι σφαγῇ.
τί φήσομεν γάρ, εἰ πόλις μὲν ἀξιοῖ
κίνδυνον ἡμῶν οὕνεκ᾽ αἴρεσθαι μέγαν,
αὐτοὶ δὲ προστιθέντες ἄλλοισιν πόνους,
παρόν σφε σῶσαι, φευξόμεσθα μὴ θανεῖν;
οὐ δῆτ᾽, ἐπεί τοι καὶ γέλωτος ἄξια,
στένειν μὲν ἱκέτας δαιμόνων καθημένους,
πατρὸς δ᾽ ἐκείνου φύντας οὗ πεφύκαμεν
κακοὺς ὁρᾶσθαι: ποῦ τάδ᾽ ἐν χρηστοῖς πρέπει;
κάλλιον, οἶμαι, τῆσδ᾽ — ὃ μὴ τύχοι ποτέ —
πόλεως ἁλούσης, χεῖρας εἰς ἐχθρῶν πεσεῖν,
κἄπειτ᾽ ἄτιμα πατρὸς οὖσαν εὐγενοῦς
παθοῦσαν Ἅιδην μηδὲν ἧσσον εἰσιδεῖν.
ἀλλ᾽ ἐκπεσοῦσα τῆσδ᾽ ἀλητεύσω χθονός;
κοὐκ αἰσχυνοῦμαι δῆτ᾽, ἐὰν δή τις λέγῃ:
Τί δεῦρ᾽ ἀφίκεσθ᾽ ἱκεσίοισι σὺν κλάδοις
αὐτοὶ φιλοψυχοῦντες; ἔξιτε χθονός:
κακοῖς γὰρ ἡμεῖς οὐ προσωφελήσομεν.
ἀλλ᾽ οὐδὲ μέντοι, τῶνδε μὲν τεθνηκότων,
αὐτὴ δὲ σωθεῖσ᾽, ἐλπίδ᾽ εὖ πράξειν ἔχω
(πολλοὶ γὰρ ἤδη τῇδε προύδοσαν φίλους) :
τίς γὰρ κόρην ἔρημον ἢ δάμαρτ᾽ ἔχειν
ἢ παιδοποιεῖν ἐξ ἐμοῦ βουλήσεται;
οὔκουν θανεῖν ἄμεινον ἢ τούτων τυχεῖν
ἀναξίαν; ἄλλῃ δὲ κἂν πρέποι τινὶ
μᾶλλον τάδ᾽, ἥτις μὴ 'πίσημος ὡς ἐγώ.
ἡγεῖσθ᾽ ὅπου δεῖ σῶμα κατθανεῖν τόδε
καὶ στεμματοῦτε καὶ †κατάρχεσθ᾽, εἰ δοκεῖ†:
νικᾶτε δ᾽ ἐχθρούς: ἥδε γὰρ ψυχὴ πάρα
ἑκοῦσα κοὐκ ἄκουσα: κἀξαγγέλλομαι
θνῄσκειν ἀδελφῶν τῶνδε κἀμαυτῆς ὕπερ.
εὕρημα γάρ τοι μὴ φιλοψυχοῦσ᾽ ἐγὼ

MACARIA. — Entonces no temas ya la hostil lanza argiva. Porque yo misma, antes que se me ordene, anciano, estoy dispuesta a morir y a presentarme para mi degollación. Pues, ¿qué diremos si la ciudad cree oportuno correr un gran peligro a causa de nosotros, y, en cambio, nosotros, imponiéndoles trabajos a otros, cuando es posible quedar a salvo, vamos a huir de la muerte? No, por cierto, puesto que sería motivo de irrisión no sólo gemir sentados como suplicantes de los dioses, sino también mostrarnos cobardes a pesar de haber nacido de aquel padre del que hemos nacido. ¿Dónde son apropiadas esas actitudes entre gentes de valía? Es más hermoso, pienso yo, que caer en manos de los enemigos, cuando esta ciudad sea apresada —cosa que jamás ocurra— y, luego, después de pasar por ultrajes terribles, aun siendo hija de un padre noble, ver de todas formas a Hades. ¿Acaso tengo que andar errante expulsada de este país? No me avergonzaré, entonces, si uno dice: «¿Por qué habéis venido aquí con ramos de suplicante, vosotros que tenéis apego a la vida? Salid del país. Pues nosotros no ayudaremos encima a unos cobardes». Pero, ni siquiera, si quedaran muertos éstos y a salvo yo, tengo esperanza de pasarlo bien. Que, ciertamente, por eso han traicionado ya muchos a sus amigos. Pues, ¿quién querrá, sea tener por esposa a una muchacha abandonada, sea tener hijos de mí? ¿No es verdad que es mejor morir que obtener ese destino sin merecerlo? Eso le convendría más a cualquier otra que no fuera notable como yo. Conducidme adonde este cuerpo deba morir, ponedle guirnaldas y comenzad el sacrificio, si os parece. Venced a los enemigos. Que hay aquí una vida que se

κάλλιστον ηὕρηκ᾽, εὐκλεῶς λιπεῖν βίον.

ofrece voluntaria y no mal de su grado. Proclamo que muero en defensa de mis hermanos y de mí misma. Pues, por cierto, al no tener apego a mi vida, acabo de confirmar el descubrimiento más hermoso: dejar la vida con buena fama.

Χορός

φεῦ φεῦ, τί λέξω παρθένου μέγαν λόγον
κλύων, ἀδελφῶν ἣ πάρος θέλει θανεῖν;
τούτων τίς ἂν λέξειε γενναίους λόγους
μᾶλλον, τίς ἂν δράσειεν ἀνθρώπων ἔτι;

CORIFEO. — ¡Ay, ay! ¿Qué diré al oír las magníficas palabras de la doncella que quiere morir en lugar de sus hermanos? ¿Quién podría decir unas palabras más nobles que ésas? ¿Qué hombre podría hacerlo todavía?

Ἰόλαος

ὦ τέκνον, οὐκ ἔστ᾽ ἄλλοθεν τὸ σὸν κάρα
ἀλλ᾽ ἐξ ἐκείνου: σπέρμα τῆς θείας φρενὸς
πέφυκας Ἡράκλειον: οὐδ᾽ αἰσχύνομαι
τοῖς σοῖς λόγοισι, τῇ τύχῃ δ᾽ ἀλγύνομαι.
ἀλλ᾽ ᾗ γένοιτ᾽ ἂν ἐνδικωτέρως φράσω:
πάσας ἀδελφὰς δεῦρο χρὴ τὰς σὰς καλεῖν,
κᾆθ᾽ ἡ λαχοῦσα θνῃσκέτω γένους ὕπερ:
σὲ δ᾽ οὐ δίκαιον κατθανεῖν ἄνευ πάλου.

YOLAO. — ¡Oh hija! No eres tú de otro origen, sino que has nacido como semilla del espíritu divino del famoso Heracles. No me avergüenzo de tus palabras, mas siento dolor por tu suerte. Pero explicaré cómo podría ser bastante justo. Es preciso llamar aquí a todas las hermanas de ésta, y, luego, la que disponga la suerte, muera por su linaje. Pero no es justo que mueras sin sorteo.

Παρθένος

οὐκ ἂν θάνοιμι τῇ τύχῃ λαχοῦσ᾽ ἐγώ:
χάρις γὰρ οὐ πρόσεστι: μὴ λέξῃς, γέρον.
ἀλλ᾽, εἰ μὲν ἐνδέχεσθε καὶ βούλεσθέ μοι
χρῆσθαι προθύμῳ, τὴν ἐμὴν ψυχὴν ἐγὼ
δίδωμ᾽ ἑκοῦσα τοῖσδ᾽, ἀναγκασθεῖσα δ᾽ οὔ.

MACARIA. — No querría yo morir por tocarme en suerte. Pues no merecería el agradecimiento. No lo digas, anciano. Pues bien, si aceptáis y queréis utilizarme, ofrezco animosamente mi vida a éstos, voluntaria yo y no obligada.

Ἰόλαος

φεῦ:
ὅδ᾽ αὖ λόγος σοι τοῦ πρὶν εὐγενέστερος:
κἀκεῖνος ἦν ἄριστος: ἀλλ᾽ ὑπερφέρεις
τόλμῃ τε τόλμαν καὶ λόγῳ χρηστῷ λόγον.
οὐ μὴν κελεύω γ᾽ οὐδ᾽ ἀπεννέπω, τέκνον,
θνῄσκειν σ᾽: ἀδελφοὺς <δ᾽> ὠφελεῖς θανοῦσα σούς.

YOLAO. — ¡Ay! Esa frase tuya es más noble que la de antes. Y aquélla era muy noble. Pero superas con esta audacia tu audacia y con unas palabras nobles, tus palabras. Sin embargo, ni te aconsejo ni te prohíbo que mueras, hija. Pero al morir beneficias a tus hermanos.

Παρθένος

σοφῶς σε λύεις: μὴ τρέσῃς μιάσματος
τοὐμοῦ μετασχεῖν, ἀλλ᾽ ἐλευθερῶ σ᾽ <ἐγώ> [θάνω].
ἕπου δέ, πρέσβυ （σῇ γὰρ ἐνθανεῖν χερὶ
θέλω）, πέπλοις δὲ σῶμ᾽ ἐμὸν κρύψον παρών:
ἕπου （σφαγῆς γὰρ πρὸς τὸ δεινὸν εἶμ᾽ ἐγώ）,
εἴπερ πέφυκα πατρὸς οὗπερ εὔχομαι.

MACARIA. — Con prudencia me aconsejas. No temas participar en la mancha de mi sangre, pues he de morir libremente. Sígueme, anciano, pues quiero morir en tus manos. Quédate a mi lado y cubre mi cuerpo con el peplo. Puesto que voy a ir hacia el espanto de mi degollación, si es que he nacido del padre del que me jacto.

Ἰόλαος

οὐκ ἂν δυναίμην σῷ παρεστάναι μόρῳ.

YOLAO. — No podría yo asistir a tu muerte.

Παρθένος

σὺ δ᾽ ἀλλὰ τοῦδε χρῄζε, μή μ᾽ ἐν ἀρσένων
ἀλλ᾽ ἐν γυναικῶν χερσὶν ἐκπνεῦσαι βίον.

MACARIA. — Pues pídele a éste que no exhale yo mi vida en manos de hombres, sino de mujeres.

Δημοφῶν

ἔσται τάδ᾽, ὦ τάλαινα παρθένων, ἐπεὶ
κἀμοὶ τόδ᾽ αἰσχρόν, μή σε κοσμεῖσθαι καλῶς,
πολλῶν ἕκατι, τῆς τε σῆς εὐψυχίας
καὶ τοῦ δικαίου. τλημονεστάτην δέ σε
πασῶν γυναικῶν εἶδον ὀφθαλμοῖς ἐγώ.
ἀλλ᾽, εἴ τι βούλῃ, τούσδε τὸν γέροντά τε
χώρει προσειποῦσ᾽ ὑστάτοις προσφθέγμασιν.

DEMOFONTE. — Así será, oh infeliz entre las doncellas, pues, también para mí, que no seas honrada de manera digna, sería vergonzoso por muchas razones: tanto por tu buen ánimo como por la justicia. Te he visto ante mis ojos como la más valiente de todas las mujeres. ¡Ea! Si tienes algún deseo, dirígete a éstos y al viejo con tus últimos saludos y ponte en marcha.

Παρθένος

ὦ χαῖρε, πρέσβυ, χαῖρε καὶ δίδασκέ μοι
τοιούσδε τούσδε παῖδας, ἐς τὸ πᾶν σοφούς,
ὥσπερ σύ, μηδὲν μᾶλλον: ἀρκέσουσι γάρ.
πειρῶ δὲ σῶσαι μὴ θανεῖν, πρόθυμος ὤν:
σοὶ παῖδές ἐσμεν, σαῖν χεροῖν τεθράμμεθα.
ὁρᾷς δὲ κἀμὲ τὴν ἐμὴν ὥραν γάμου
διδοῦσαν ἀντὶ τῶνδε κατθανουμένην.
ὑμεῖς τ᾽, ἀδελφῶν ἡ παροῦσ᾽ ὁμιλία,
εὐδαιμονοῖτε, καὶ γένοιθ᾽ ὑμῖν ὅσων
ἡμὴ πάροιθε καρδία σφαλήσεται.
καὶ τὸν γέροντα τήν τ᾽ ἔσω γραῖαν δόμων
τιμᾶτε πατρὸς μητέρ᾽ Ἀλκμήνη ν ἐμοῦ
ξένους τε τούσδε. κἂν ἀπαλλαγὴ πόνων
καὶ νόστος ὑμῖν εὑρεθῇ ποτ᾽ ἐκ θεῶν,
μέμνησθε τὴν σώτειραν ὡς θάψαι χρεών:
κάλλιστά τοι δίκαιον: οὐ γὰρ ἐνδεὴς
ὑμῖν παρέστην, ἀλλὰ προύθανον γένους.
τάδ᾽ ἀντὶ παίδων ἐστί μοι κειμήλια
καὶ παρθενείας, εἴ τι δὴ κάτω χθονός:
εἴη γε μέντοι μηδέν. εἰ γὰρ ἕξομεν
κἀκεῖ μερίμνας οἱ θανούμενοι βροτῶν,
οὐκ οἶδ᾽ ὅποι τις τρέψεται: τὸ γὰρ θανεῖν
κακῶν μέγιστον φάρμακον νομίζεται.

MACARIA. — ¡Oh! Pásalo bien, anciano, pásalo bien y edúcame a estos niños de la siguiente manera: listos para todo, como tú; en nada más, pues tendrán bastante. Trata de salvarlos, consérvate lleno de celo para que no mueran. Somos hijos tuyos. Hemos sido criados por tus manos. Ves que también yo ofrezco mi juventud propia del matrimonio, dispuesta a morir en vez de ellos. Y vosotros, compañía de mis hermanos que me asistís, que seáis felices y que gocéis de todo aquello por lo que será degollada mi vida. Honrad al anciano, a la anciana que está dentro del templo, Alcmena, madre de mi padre, y a estos extranjeros. Y si un día la liberación de vuestros trabajos y el regreso os los descubren los dioses, acordaos de cómo es preciso enterrar a vuestra salvadora. De la manera más hermosa es lo justo. Pues no me ofrecí yo por vosotros en grado insuficiente, sino que morí por mi linaje. Esto será mi tesoro, en lugar de hijos y de doncellez, si es que debajo de tierra hay algo. Sin embargo, ¡ojalá no haya nada!, pues si los mortales que muramos vamos a tener también allí preocupaciones, no sé adónde se volverá uno. Que el morir es considerado como el mayor remedio de los males.

Ἰόλαος

ἀλλ᾽, ὦ μέγιστον ἐκπρέπουσ᾽ εὐψυχίᾳ
πασῶν γυναικῶν, ἴσθι, τιμιωτάτη
καὶ ζῶσ᾽ ὑφ᾽ ἡμῶν καὶ θανοῦσ᾽ ἔσῃ πολύ:
καὶ χαῖρε: δυσφημεῖν γὰρ ἅζομαι θεὰν
ᾗ σὸν κατῆρκται σῶμα, Δήμητρος κόρην.
ὦ παῖδες, οἰχόμεσθα: λύεται μέλη
λύπῃ: λάβεσθε κἀς ἕδραν μ᾽ ἐρείσατε

YOLAO. — ¡Ea! ¡Oh tú que destacas muchísimo entre todas las mujeres por tu buen ánimo! Sábete que serás la más honrada con mucho por nosotros, tanto viva como muerta. ¡Váyate bien! Pues me impone respeto decir palabras de mal agüero a la diosa a quien está consagrado tu cuerpo, a la hija de Deméter. ¡Oh hijos! Me muero. Mis

αὐτοῦ πέπλοισι τοῖσδε κρύψαντες κάρα.
ὡς οὔτε τούτοις ἥδομαι πεπραγμένοις,
χρησμοῦ τε μὴ κρανθέντος οὐ βιώσιμον:
μείζων γὰρ ἄτη: συμφορὰ δὲ καὶ τάδε.

miembros se desmayan de pena. Cogedme y apoyadme en un asiento, cubriéndome ahí con este peplo, hijos. Que no me alegro con lo que está ocurriendo, ni con que no sea posible vivir si no se cumple el oráculo. Efectivamente es una calamidad mayor, pero también esto es una desgracia.

Χορός

οὔτινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ βαρύποτμον,
ἄνδρα γενέσθαι:
οὐδὲ τὸν αὐτὸν ἀεὶ 'μβεβάναι δόμον
εὐτυχίᾳ: παρὰ δ᾽ ἄλλαν ἄλλα
μοῖρα διώκει.
τὸν μὲν ἀφ᾽ ὑψηλῶν βραχὺν ᾤκισε,
τὸν δ᾽ †ἀλήταν† εὐδαίμονα τεύχει.
μόρσιμα δ᾽ οὔτι φυγεῖν θέμις, οὐ σοφί-
ᾳ τις ἀπώσεται, ἀλλὰ μάταν
ὁ πρόθυμος ἀεὶ πόνον ἕξει.

ESTÁSIMO 2.º

CORO.

Estrofa.

Afirmo que sin la intervención de los dioses ningún hombre consigue ser feliz ni desgraciado. Ni tampoco una misma casa se encuentra siempre en la prosperidad. Un destino diferente sigue a otro. A uno que viene de lo alto lo deja abatido,, y a un vagabundo lo hace dichoso. No es lícito huir de lo fijado por la suerte. Nadie lo rechazará con su saber, sino que quien lo desee siempre se esforzará en vano.

Χορός

ἀλλὰ σὺ μὴ προπεσὼν τὰ θεῶν στένε, μηδ᾽ ὑπεράλγει
φροντίδα λύπᾳ:
εὐδόκιμον γὰρ ἔχει θανάτου μέρος
ἁ μελέα πρό τ᾽ ἀδελφῶν καὶ γᾶς:
οὐδ᾽ ἀκλεής νιν
δόξα πρὸς ἀνθρώπων ὑποδέξεται:
ἁ δ᾽ ἀρετὰ βαίνει διὰ μόχθων.
ἄξια μὲν πατρός, ἄξια δ᾽ εὐγενί-
ας τάδε γίγνεται: εἰ δὲ σέβεις
θανάτους ἀγαθῶν, μετέχω σοι.

Antistrofa.

Pero tú, sin postrarte ante ello, soporta lo que deparan los dioses y no te aflijas por demás en tu corazón con la tristeza. Pues famosa muerte consigue la desdichada en defensa de sus hermanos y de su país. Buena fama, no sin gloria, por parte de los hombres la envolverá. La virtud camina a través de los sufrimientos. Dignas de su padre, dignas de su buen linaje resultan estas acciones. Si honras las muertes de los valerosos, yo comparto contigo esta veneración.

Θεράπων

ὦ τέκνα, χαίρετ᾽: Ἰόλεως δὲ ποῦ γέρων
μήτηρ τε πατρὸς τῆσδ᾽ ἕδρας ἀποστατεῖ;

EPISODIO 3.º

SERVIDOR. — ¡Oh hijos! Salud. ¿Dónde está el anciano Yolao? ¿Se ha marchado de este asiento la madre de vuestro padre?

Ἰόλαος

πάρεσμεν, οἵα δή γ᾽ ἐμοῦ παρουσία.

YOLAO. — Estamos presentes. Esto queda, al menos, de mi presencia.

Θεράπων

τί χρῆμα κεῖσαι καὶ κατηφὲς ὄμμ᾽ ἔχεις;

SERVIDOR. — ¿Por qué estás echado y tienes la mirada baja?

Ἰόλαος

φροντίς τις ἦλθ᾽ οἰκεῖος, ᾗ συνειχόμην.

YOLAO. — Me ha sobrevenido una tribulación familiar, por la que me he quedado abatido.

Θεράπων

ἔπαιρέ νυν σεαυτόν, ὄρθωσον κάρα.

SERVIDOR. — Levántate tú mismo, entonces, y endereza la cabeza.

Ἰόλαος

γέροντές ἐσμεν κοὐδαμῶς ἐρρώμεθα.

YOLAO. — Somos ancianos y de ningún modo estamos fuertes.

Θεράπων

ἥκω γε μέντοι χάρμα σοι φέρων μέγα.

SERVIDOR. — He venido, en verdad, trayéndote una gran alegría.

Ἰόλαος

τίς δ᾽ εἶ σύ; ποῦ σοι συντυχὼν ἀμνημονῶ;

YOLAO. — ¿Quién eres tú? ¿Dónde he tropezado contigo que no me acuerdo?

Θεράπων

Ὕλλου πενέστης: οὔ με γιγνώσκεις ὁρῶν;

SERVIDOR. — Un sirviente de Hilo. ¿No me reconoces al verme?

Ἰόλαος

ὦ φίλταθ᾽, ἥκετ᾽ ἆρα σῷ κἄτερ βλάβης;

YOLAO. — ¡Oh queridísimo! ¿Has venido entonces como liberador de nuestra desgracia?

Θεράπων

μάλιστα: καὶ πρός γ᾽ εὐτυχεῖς τὰ νῦν τάδε.

SERVIDOR. — Precisamente, y, además, tienes buena suerte en lo de ahora.

Ἰόλαος

ὦ μῆτερ ἐσθλοῦ παιδός, Ἀλκμήνη ν λέγω,
ἔξελθ᾽, ἄκουσον τοῦδε φιλτάτους λόγους.
πάλαι γὰρ ὠδίνουσα τῶν ἀφιγμένων
ψυχὴν ἐτήκου νόστος εἰ γενήσεται.

YOLAO. — ¡Oh madre de un hijo noble, a Alcmena me refiero, sal! Escucha estas queridísimas palabras, pues, sufriendo desde ha tiempo por los que ya llegan, consumías tu alma con la ansiedad de este regreso.

Ἀλκμήνη

τί χρῆμ᾽ ἀϋτῆς πᾶν τόδ᾽ ἐπλήσθη στέγος,
Ἰόλαε; μῶν τίς σ᾽ αὖ βιάζεται παρὼν
Κῆρυξ ἀπ᾽Ἄργους; ἀσθενὴς μὲν ἥ γ᾽ ἐμὴ
ῥώμη, τοσόνδε δ᾽ εἰδέναι σε χρή, ξένε,
οὐκ ἔστ᾽ ἄγειν σε τούσδ᾽ ἐμοῦ ζώσης ποτέ.
ἢ τἄρ᾽ ἐκείνου μὴ νομιζοίμην ἐγὼ
μήτηρ ἔτ᾽: εἰ δὲ τῶνδε προσθίξῃ χερί,
δυοῖν γερόντοιν οὐ καλῶς ἀγωνιῇ.

ALCMENA. — ¿Qué pasa? Todo este edificio se ha llenado de griterío, Yolao. ¿Es que algún heraldo, procedente de Argos, te fuerza con su presencia? Débil es mi fuerza, al menos, pero sólo una cosa es preciso que sepas, extranjero: que no es posible que te lleves jamás a éstos mientras yo viva. Entonces, sí, dejaría que no se me considerase ya madre de Heracles. Si tocas a éstos con tu mano, lucharás contra dos viejos, no de manera gloriosa.

Ἰόλαος

θάρσει, γεραιά, μὴ τρέσῃς: οὐκ Ἀργόθεν
Κῆρυξ ἀφῖκται πολεμίους λόγους ἔχων.

YOLAO. — Ánimo, anciana, no temas. No ha llegado un heraldo desde Argos con palabras enemigas.

Ἀλκμήνη

τί γὰρ βοὴν ἔστησας ἄγγελον φόβου;

ALCMENA. — Pues, ¿por qué diste un grito mensajero de temor?

Ἰόλαος

σὺ πρόσθε ναοῦ τοῦδ᾽ ὅπως βαίης πέλας.

YOLAO. — Por ti, para que te acercaras delante de este templo.

Ἀλκμήνη

οὐκ ἴσμεν ἡμεῖς ταῦτα: τίς γάρ ἐσθ᾽ ὅδε;

ALCMENA. — Yo no sabía eso. ¿Quién es, entonces, éste?

Ἰόλαος

ἥκοντα παῖδα παιδὸς ἀγγέλλει σέθεν.

YOLAO. — Anuncia que ha llegado el hijo de tu hijo.

Ἀλκμήνη

ὦ χαῖρε καὶ σὺ τοῖσδε τοῖς ἀγγέλμασιν.
ἀτὰρ τί χώρᾳ τῇδε προσβαλὼν πόδα
< >;
ποῦ νῦν ἄπεστι; τίς νιν εἶργε συμφορὰ
σὺν σοὶ φανέντα δεῦρ᾽ ἐμὴν τέρψαι φρένα;

ALCMENA. — Goza tú también con esta noticia. Mas, ¿por qué ha puesto su pie en esta tierra? ¿Dónde está ahora? ¿Qué circunstancia le impide mostrarse aquí contigo para alegrar mi corazón?

Θεράπων

στρατὸν καθίζει τάσσεταί θ᾽ ὃν ἦλθ᾽ ἔχων.

SERVIDOR. — Asienta y dispone el ejército que ha traído al venir.

Ἀλκμήνη

τοῦδ᾽ οὐκέθ᾽ ἡμῖν τοῦ λόγου μέτεστι δή.

ALCMENA. — Esos pormenores ya no nos importan.

Ἰόλαος

μέτεστιν: ἡμῶν δ᾽ ἔργον ἱστορεῖν τάδε.

YOLAO. — Sí importa. Y es asunto mío preguntarlo.

Θεράπων

τί δῆτα βούλῃ τῶν πεπραγμένων μαθεῖν;

SERVIDOR. — ¿Qué quieres saber, pues, de lo ocurrido?

Ἰόλαος

πόσον τι πλῆθος συμμάχων πάρεστ᾽ ἔχων;

YOLAO. — ¿Con cuántos aliados está presente?

Θεράπων

πολλούς: ἀριθμὸν δ᾽ ἄλλον οὐκ ἔχω φράσαι.

SERVIDOR. — Con muchos. Pero no puedo explicarte todo el número.

Ἰόλαος

ἴσασιν, οἶμαι, ταῦτ᾽ Ἀθηναίων πρόμοι.

YOLAO. — Saben eso, supongo, los jefes de los atenienses.

Θεράπων

ἴσασι, καὶ δὴ <'ς> λαιὸν ἔστησαν κέρας.

SERVIDOR. — Lo saben. Y ya está dispuesta el ala izquierda.

Ἰόλαος

ἤδη γὰρ ὡς ἐς ἔργον ὥπλισται στρατός;

YOLAO. — ¿Está ya armado el ejército como para la acción?

Θεράπων

καὶ δὴ παρῆκται σφάγια τάξεων ἑκάς.

SERVIDOR. — Sí, e, incluso, ya han sido llevadas las víctimas lejos de las filas.

Ἰόλαος

πόσον τι δ᾽ ἔστ᾽ ἄπωθεν Ἀργεῖον δόρυ;

YOLAO. — ¿A qué distancia está el ejército argivo?

Θεράπων

ὥστ᾽ ἐξορᾶσθαι τὸν στρατηγὸν ἐμφανῶς.

SERVIDOR. — A una distancia tal como para que se vea claramente su estratego.

Ἰόλαος

τί δρῶντα; μῶν τάσσοντα πολεμίων στίχας;

YOLAO. — ¿Qué hace? ¿Acaso ordena las filas de los enemigos?

Θεράπων

ᾐκάζομεν ταῦτ᾽: οὐ γὰρ ἐξηκούομεν.
ἀλλ᾽ εἶμ᾽: ἐρήμους δεσπότας τοὐμὸν μέρος
οὐκ ἂν θέλοιμι πολεμίοισι συμβαλεῖν.

SERVIDOR. — Lo sospechábamos, pues no lo oíamos. Pero me voy a ir. No quisiera que mis señores, faltos de mi apoyo personal, chocaran contra los enemigos.

Ἰόλαος

κἄγωγε σὺν σοί: ταὐτὰ γὰρ φροντίζομεν,
φίλοις παρόντες, ὡς ἔοιγμεν, ὠφελεῖν.

YOLAO. — Y yo también contigo, pues pensamos lo mismo: asistir a los amigos, según parece, y ayudarles.

Θεράπων

ἥκιστα πρὸς σοῦ μῶρον ἦν εἰπεῖν ἔπος.

SERVIDOR. — De ningún modo sería propio de ti tomar una decisión insensata.

Ἰόλαος

καὶ μὴ μετασχεῖν γ᾽ ἀλκίμου μάχης φίλοις.

YOLAO. — Tampoco no participar con mis amigos en la esforzada batalla.

Θεράπων

οὐκ ἔστιν, ὦ τᾶν, ἥ ποτ᾽ ἦν ῥώμη σέθεν.

SERVIDOR. — No es posible causar heridas con la vista, si no actúa la mano.

Ἰόλαος

τί δ᾽; οὐ θένοιμι κἂν ἐγὼ δι᾽ ἀσπίδος;

YOLAO. — ¿Y qué? ¿No tendría yo vigor detrás de un escudo?

Θεράπων
θένοις ἄν, ἀλλὰ πρόσθεν αὐτὸς ἂν πέσοις.

SERVIDOR. — Tendrías vigor, pero tú mismo caerías sobre él.

Ἰόλαος
οὐδεὶς ἔμ᾽ ἐχθρῶν προσβλέπων ἀνέξεται.

YOLAO. — Ninguno de los enemigos soportará mirarme.

Θεράπων
οὐκ ἔστ᾽ ἐν ὄψει τραῦμα μὴ δρώσης χερός.

SERVIDOR. — No existe, oh amigo, ese vigor tuyo que era realidad antaño.

Ἰόλαος
ἀλλ᾽ οὖν μαχοῦμαί γ᾽ ἀριθμὸν οὐκ ἐλάσσοσιν.

YOLAO. — Pues bien, voy a luchar con gentes no inferiores en número.

Θεράπων
σμικρὸν τὸ σὸν σήκωμα προστίθης φίλοις.

SERVIDOR. — Pequeño contrapeso añades a tus amigos.

Ἰόλαος
μή τοί μ᾽ ἔρυκε δρᾶν παρεσκευασμένον.

YOLAO. — No me contengas cuando estoy dispuesto a actuar.

Θεράπων
δρᾶν μὲν σύ γ᾽ οὐχ οἷός τε, βούλεσθαι δ᾽ ἴσως.

SERVIDOR. — De actuar, tú no eres capaz; de querer hacerlo, quizá.

Ἰόλαος
ὡς μὴ μενοῦντος τἄλλα σοι λέγειν πάρα.

YOLAO. — En la idea de que no me quedaré, puedes decirme lo demás.

Θεράπων
πῶς οὖν ὁπλίτης τευχέων ἄτερ φανῇ;

SERVIDOR. — ¿Cómo aparecerás sin armas ante hoplitas?[22]

Ἰόλαος
ἔστ᾽ ἐν δόμοισιν ἔνδον αἰχμάλωθ᾽ ὅπλα
τοῖσδ᾽, οἷσι χρησόμεσθα: κἀποδώσομεν
ζῶντες, θανόντας δ᾽ οὐκ ἀπαιτήσει θεός.
ἀλλ᾽ εἴσιθ᾽ εἴσω κἀπὸ πασσάλων ἑλὼν
ἔνεγχ᾽ ὁπλίτην κόσμον ὡς τάχιστά μοι.
αἰσχρὸν γὰρ οἰκούρημα γίγνεται τόδε,
τοὺς μὲν μάχεσθαι, τοὺς δὲ δειλίᾳ μένειν.

YOLAO. — Hay en este edificio, dentro, armas cogidas en guerra. Las utilizaré y las devolveré, si vivo. Si muero, no me las reclamará el dios. ¡Ea! Entra, coge de los clavos un equipo de hoplita y tráemelo lo más pronto posible. Pues resulta vergonzoso este sistema de defender la casa: que unos luchen y otros se queden por cobardía.

Χορός
λῆμα μὲν οὔπω στόρνυσι χρόνος

CORO. — *El tiempo todavía no humilla tu*

[22] Armados de lanza y escudo.

τὸ σόν, ἀλλ᾽ ἡβᾷ, σῶμα δὲ φροῦδον.
τί πονεῖς ἄλλως ἃ σὲ μὲν βλάψει,
σμικρὰ δ᾽ ὀνήσει πόλιν ἡμετέραν;
χρὴ γνωσιμαχεῖν τὴν ἡλικίαν,
τὰ δ᾽ ἀμήχαν᾽ ἐᾶν: οὐκ ἔστιν ὅπως
ἥβην κτήσῃ πάλιν αὖθις.

arrogancia, sino que está vigorosa como de joven, pero tu cuerpo está ya gastado. ¿Por qué te esfuerzas en vano en lo que te perjudicará y beneficiará poco a nuestra ciudad? Es necesaria la edad para variar de opinión y dejar lo imposible. No hay manera de que adquieras la juventud de nuevo.

Ἀλκμήνη
τί χρῆμα; μέλλεις σῶν φρενῶν οὐκ ἔνδον ὢν
λιπεῖν μ᾽ ἔρημον σὺν <τέκνου> τέκνοις ἐμοῖς;

ALCMENA. — ¿Qué pasa? ¿Por no estar en razón te dispones a dejarme sola con mis hijos, anciano?[23]

Ἰόλαος
ἀνδρῶν γὰρ ἀλκή: σοὶ δὲ χρὴ τούτων μέλειν.

YOLAO. — De hombres, en efecto, es el combate. Para ti, en cambio, es necesario ocuparte de ésos.

Ἀλκμήνη
τί δ᾽; ἢν θάνῃς σύ, πῶς ἐγὼ σωθήσομαι;

ALCMENA. — ¿Y qué? Si tú mueres, ¿cómo me salvaré yo?

Ἰόλαος
παιδὸς μελήσει παισὶ τῶν λελειμμένων.

YOLAO. — Se preocuparán los hijos de tu hijo que queden.

Ἀλκμήνη
ἢν δ᾽ οὖν, ὃ μὴ γένοιτο, χρήσωνται τύχῃ;

ALCMENA. — ¿Y si —cosa que no ocurra— tienen un percance?

Ἰόλαος
οἶδ᾽ οὐ προδώσουσίν σε, μὴ τρέσῃς, ξένοι.

YOLAO. — Estos extranjeros no te traicionarán, no temas.

Ἀλκμήνη
τοσόνδε γάρ τοι θάρσος, οὐδὲν ἄλλ᾽, ἔχω.

ALCMENA. — En verdad, es la única confianza; no tengo ninguna otra.

Ἰόλαος
καὶ Ζηνὶ τῶν σῶν, οἶδ᾽ ἐγώ, μέλει πόνων.

YOLAO. — También Zeus, yo lo sé, se preocupa de tus fatigas.

Ἀλκμήνη
φεῦ:
Ζεὺς ἐξ ἐμοῦ μὲν οὐκ ἀκούσεται κακῶς:
εἰ δ᾽ ἐστὶν ὅσιος αὐτὸς οἶδεν εἰς ἐμέ.

ALCMENA. — ¡Ay!
Zeus no será censurado por mí. Él sabe si es justo respecto a mí.

Θεράπων
ὅπλων μὲν ἤδη τήνδ᾽ ὁρᾷς παντευχίαν,

SERVIDOR. — Ya estás viendo aquí una

[23] Laguna de dos sílabas. Suplimos según HARTUNG.

φθάνοις δ᾽ ἂν οὐκ ἂν τοῖσδε σὸν κρύπτων δέμας:
ὡς ἐγγὺς ἀγών, καὶ μάλιστ᾽ Ἄρης στυγεῖ
μέλλοντας: εἰ δὲ τευχέων φοβῇ βάρος,
νῦν μὲν πορεύου γυμνός, ἐν δὲ τάξεσιν
κόσμῳ πυκάζου τῷδ᾽: ἐγὼ δ᾽ οἴσω τέως.

armadura completa. Recubre en seguida tu cuerpo con ella, que la lucha está cerca y Ares odia ante todo a los que tardan. Pero, si te asusta el peso de las armas, marcha ahora inerme y ármate con este equipo en las filas. Yo te las llevaré entretanto.

Ἰόλαος

καλῶς ἔλεξας: ἀλλ᾽ ἐμοὶ πρόχειρ᾽ ἔχων
τεύχη κόμιζε, χειρὶ δ᾽ ἔνθες ὀξύην,
λαιόν τ᾽ ἔπαιρε πῆχυν, εὐθύνων πόδα.

YOLAO. — Bien has dicho. Lleva las armas manteniéndolas a mi alcance, ponme en la mano la lanza y levanta mi codo izquierdo, guiando mis pasos.

Θεράπων

ἦ παιδαγωγεῖν γὰρ τὸν ὁπλίτην χρεών;

SERVIDOR. — ¿Es que, realmente, es preciso conducir cual niño a un hoplita?

Ἰόλαος

ὄρνιθος οὕνεκ᾽ ἀσφαλῶς πορευτέον.

YOLAO. — Hay que marchar con seguridad para evitar augurios[24].

Θεράπων

εἴθ᾽ ἦσθα δυνατὸς δρᾶν ὅσον πρόθυμος εἶ.

SERVIDOR. — Ojalá fueras capaz de realizar todo aquello de lo que estás ansioso.

Ἰόλαος

ἔπειγε: λειφθεὶς δεινὰ πείσομαι μάχης.

YOLAO. — Date prisa. Pues para mí será algo terrible si llego tarde a la batalla.

Θεράπων

σύ τοι βραδύνειν, οὐκ ἐγώ, δοκεῖς τι δρᾶν.

SERVIDOR. — Tú, realmente, te demoras, y yo doy la impresión de no hacer nada.

Ἰόλαος

οὔκουν ὁρᾷς μου κῶλον ὡς ἐπείγεται;

YOLAO. — ¿No ves cómo se apresuran mis miembros?

Θεράπων

ὁρῶ δοκοῦντα μᾶλλον ἢ σπεύδοντά σε.

SERVIDOR. — Veo que tú te lo crees, más bien que te des prisa.

Ἰόλαος

οὐ ταῦτα λέξεις, ἡνίκ᾽ ἂν λεύσσῃς μ᾽ ἐκεῖ...

YOLAO. — Tú lo dirás, cuando me observes allí...

Θεράπων

τί δρῶντα; βουλοίμην δ᾽ ἂν εὐτυχοῦντά γε.

SERVIDOR. — ¿Qué harás? Quisiera verte feliz, al menos.

---

24 Era signo de mal augurio tropezar, sobre todo al comenzar el día

Ἰόλαος

δι᾽ ἀσπίδος θείνοντα πολεμίων τινά.

YOLAO. — ...hiriendo a través de su escudo a algún enemigo.

Θεράπων

εἰ δή ποθ᾽ ἥξομέν γε: τοῦτο γὰρ φόβος.

SERVIDOR. — Si es que llegamos algún día. Pues ése es mi miedo.

Ἰόλαος

φεῦ:
εἴθ᾽, ὦ βραχίων, οἷον ἡβήσαντά σε
μεμνήμεθ᾽ ἡμεῖς, ἡνίκα ξὺν Ἡρακλεῖ
Σπάρτην ἐπόρθεις, σύμμαχος γένοιό μοι
τοιοῦτος: οἵαν ἂν τροπὴν Εὐρυσθέως
θείμην: ἐπεί τοι καὶ κακὸς μένειν δόρυ.
ἔστιν δ᾽ ἐν ὄλβῳ καὶ τόδ᾽ οὐκ ὀρθῶς ἔχον,
εὐψυχίας δόκησις: οἰόμεσθα γὰρ
τὸν εὐτυχοῦντα πάντ᾽ ἐπίστασθαι καλῶς.

YOLAO. — ¡Ay! Ojalá, oh brazo, fueras para mí un aliado de tal estilo cual te recuerdo en tu juventud, cuando en compañía de Heracles devastabas Esparta. ¡Cómo lograría yo la derrota de Euristeo! Pues, en verdad, es cobarde incluso para resistir la lanza. También depende de la dicha, sin razón, la fama del valor. Pues creemos que el afortunado lo dispone bien todo.

ESTÁSIMO 3.º

Χορός

Γᾶ καὶ παννύχιος σελά-
να καὶ λαμπρόταται θεοῦ
φαεσιμβρότου αὐγαί,
ἀγγελίαν μοι ἐνέγ-
καιτ᾽: ἰαχήσατε δ᾽ οὐρανῷ
καὶ παρὰ θρόνον ἀρχέταν
γλαυκᾶς τ᾽ ἐν Ἀθάνας.
μέλλω τᾶς πατριώτιδος
γᾶς, μέλλω καὶ ὑπὲρ δόμων
ἱκέτας ὑποδεχθεὶς
κίνδυνον πολιῷ τεμεῖν σιδάρῳ.

CORO.

Estrofa 1.ª.

¡Tierra y luna de toda la noche y rayos muy brillantes del dios[25] *que dais luz a los mortales! Así me traigáis la noticia: gritadla en el cielo, tanto junto al trono soberano como en la mansión de la glauca Atenea. Por haber acogido yo a unos suplicantes, un pelagro ha amenazado a mi tierra patria y a mi casa; voy a cortarlo con mi reluciente espada.*

Χορός

δεινὸν μὲν πόλιν ὡς Μυκή-
νας εὐδαίμονα καὶ δορὸς
πολυαίνετον ἀλκᾷ
μῆνιν ἐμᾷ χθονὶ κεύ-
θειν: κακὰ δ᾽, ὦ πόλις, εἰ ξένους
ἱκτῆρας παραδώσομεν
κελεύσμασιν Ἄργους.
Ζεύς μοι σύμμαχος, οὐ φοβοῦ-
μαι, Ζεύς μοι χάριν ἐνδίκως
ἔχει: οὔποτε θνατῶν
ἥσσους <δαίμονες> ἔκ γ᾽ ἐμοῦ φανοῦνται.

Antístrofa 1.ª.

Terrible es que una ciudad como Micenas, rica y muy alabada por el valor de su lanza, guarde rencor contra mi país. Pero cobarde es, oh ciudad, que entreguemos unos extranjeros suplicantes por mandato[26] *de Argos. Zeus es mi aliado: no temo. Zeus está agradecido conmigo con razón. (Las divinidades)*[27] *jamás serán consideradas por mí, al menos, como inferiores a los mortales.*

---

[25] Helio, «el Sol».

[26] Pasaje corrupto.

[27] No lo incluyen los editores por razones métricas.

Χορός

ἀλλ᾽, ὦ πότνια, σὸν γὰρ οὖ-
δας γᾶς, καὶ πόλις, ἇς σὺ μά-
τηρ δέσποινά τε καὶ φύλαξ
πόρευσον ἄλλᾳ τὸν οὐ δικαίως
τᾷδ᾽ ἐπάγοντα δορυσσοῦν
στρατὸν Ἀργόθεν: οὐ γὰρ ἐμᾶ γ᾽ ἀρετᾶ
δίκαιός εἰμ᾽ ἐκπεσεῖν μελάθρων.

Estrofa 2.ª.

¡Ea! ¡Oh señora![28]. *—En efecto tuyo es el suelo de nuestra tierra y la ciudad de la que tú eres madre, dueña y guardiana—. ¡Desvía por otro lado a quien, sin razón, conduce hacia aquí el ejército de Argos que blande la lanza! Pues, por mi virtud, no merezco ser expulsado de palacio.*

Χορός

ἐπεί σοι πολύθυτος ἀεὶ
τιμὰ κραίνεται, οὐδὲ λά-
θει μηνῶν φθινὰς ἁμέρα,
νέων τ᾽ ἀοιδαὶ χορῶν τε μολπαί.
ἀνεμόεντι δ᾽ ἐπ᾽ ὄχθῳ
ὀλολύγματα παννυχίοις ὑπὸ παρ-
θένων ἰαχεῖ ποδῶν κρότοισιν.

Antistrofa 2.ª.

Porque en tu honor se cumple sin cesar un culto de muchos sacrificios, y no se olvida el día último de los meses, ni los cantos de los jóvenes ni las canciones de los coros. Sobre la colina ventosa[29] *resuenan gritos femeninos entre el repiqueteo, de toda una noche*[30]*, marcado por los pies de las doncellas.*

Ἄγγελος

δέσποινα, μύθους σοί τε †συντομωτάτους:
κλύειν ἐμοί τε τῷδε καλλίστους φέρω†:
νικῶμεν ἐχθροὺς καὶ τροπαῖ᾽ ἱδρύεται
πανττευχίαν ἔχοντα πολεμίων σέθεν.

EPISODIO 4.º

SERVIDOR. — Señora, traigo noticias: para ti, muy breves de oír; para mí, aquí a tu lado, muy hermosas. Hemos vencido a los enemigos y se han erigido trofeos que contienen la armadura completa de tus enemigos.

Ἀλκμήνη

ὦ φίλταθ᾽, ἥδε σ᾽ ἡμέρα διώλβισεν:
ἠλευθέρωσαι τοῖσδε τοῖς ἀγγέλμασιν.
μιᾶς δ᾽ ἔμ᾽ οὔπω συμφορᾶς ἐλευθεροῖς:
φόβος γὰρ εἴ μοι ζῶσιν οὓς ἐγὼ θέλω.

ALCMENA. — ¡Oh queridísimo! Este día ha contribuido a liberarte gracias a esos mensajes. Pero de solo un sufrimiento todavía no me liberas. Pues miedo tengo por si no viven aquellos a quienes yo quiero.

Ἄγγελος

ζῶσιν, μέγιστόν γ᾽ εὐκλεεῖς κατὰ στρατόν.

SERVIDOR. — Viven, famosos en grado sumo entre el ejército.

Ἀλκμήνη

ὁ μὲν γέρων οὖν ἔστιν Ἰόλεως ἔτι;

ALCMENA. — El anciano Yolao, ¿no es aquel de allí?

Ἄγγελος

μάλιστα, πράξας γ᾽ ἐκ θεῶν κάλλιστα δή.

SERVIDOR. — Sí, por cierto. Lo ha pasado muy bien gracias a los dioses.

---

[28] Atenea, patrona de Atenas.
[29] La colina es la Acrópolis.
[30] Podría entenderse también «gritos femeninos por boca de las doncellas». Se trata de la *Pannychís*, fiesta que duraba toda la noche que precedía al día de las Grandes Panateneas.

Ἀλκμήνη

τί δ᾽ ἔστι; μῶν τι κεδνὸν ἠγωνίζετο;

ALCMENA. — ¿Qué ocurre? ¿Acaso ha entablado algún combate valiente?

Ἄγγελος

νέος μεθέστηκ᾽ ἐκ γέροντος αὖθις αὖ.

SERVIDOR. — Se ha convertido de viejo en joven otra vez.

Ἀλκμήνη

θαυμάστ᾽ ἔλεξας: ἀλλά σ᾽ εὐτυχῆ φίλων
μάχης ἀγῶνα πρῶτον ἀγγεῖλαι θέλω.

ALCMENA. — ¡Hechos admirables me cuentas! Mas deseo que me des noticia primero del feliz combate de los míos.

Ἄγγελος

εἷς μου λόγος σοι πάντα σημανεῖ τάδε.
ἐπεὶ γὰρ ἀλλήλοισιν ὁπλίτην στρατὸν
κατὰ στόμ᾽ ἐκτείνοντες ἀντετάξαμεν,
ἐκβὰς τεθρίππων Ὕλλος ἁρμάτων πόδα
ἔστη μέσοισιν ἐν μεταιχμίοις δορός.
κἄπειτ᾽ ἔλεξεν: "Ὦ" στρατήγ᾽ ὃς Ἀργόθεν
ἥκεις, τί τήνδε γαῖαν οὐκ εἰάσαμεν
< >
< >
καὶ τὰς Μυκήνας οὐδὲν ἐργάσῃ κακὸν
ἀνδρῶν στερήσας: ἀλλ᾽ ἐμοὶ μόνος μόνῳ
μάχην συνάψας, ἢ κτανὼν ἄγου λαβὼν
τοὺς Ἡρακλείους παῖδας ἢ θανὼν ἐμοὶ
τιμὰς πατρῴους καὶ δόμους ἔχειν ἄφες.
στρατὸς δ᾽ ἐπῄνεσ᾽ ἔς τ᾽ ἀπαλλαγὰς πόνων
καλῶς λελέχθαι μῦθον ἔς τ᾽ εὐψυχίαν.
ὁ δ᾽ οὔτε τοὺς κλύοντας αἰδεσθεὶς λόγων
οὔτ᾽ αὐτὸς αὑτοῦ δειλίαν στρατηγὸς ὢν
ἐλθεῖν ἐτόλμησ᾽ ἐγγὺς ἀλκίμου δορός,
ἀλλ᾽ ἦν κάκιστος: εἶτα τοιοῦτος γεγὼς
τοὺς Ἡρακλείους ἦλθε δουλώσων γόνους;
Ὕλλος μὲν οὖν ἀπῳχετ᾽ ἐς τάξιν πάλιν:
μάντεις δ᾽, ἐπειδὴ μονομάχου δι᾽ ἀσπίδος
διαλλαγὰς ἔγνωσαν οὐ τελουμένας,
ἔσφαζον, οὐκ ἔμελλον, ἀλλ᾽ ἀφίεσαν
λαιμῶν βοείων εὐθὺς οὔριον φόνον.
οἱ δ᾽ ἅρματ᾽ εἰσέβαινον, οἱ δ᾽ ὑπ᾽ ἀσπίδων
πλευροῖς ἔχριμπτον πλεύρ᾽: Ἀθηναίων δ᾽ ἄναξ
στρατῷ παρήγγελλ᾽ οἷα χρὴ τὸν εὐγενῆ:
"Ὦ" ξυμπολῖται, τῇ τε βοσκούσῃ χθονὶ
καὶ τῇ τεκούσῃ νῦν τιν᾽ ἀρκέσαι χρεών.
ὁ δ᾽ αὖ τό τ᾽ Ἄργος μὴ καταισχῦναι θέλειν
καὶ τὰς Μυκήνας συμμάχους ἐλίσσετο.

SERVIDOR. — Mi explicación por sí sola te indicará todo eso. En efecto, una vez que nos enfrentamos mutuamente, al desplegar el ejército de hoplitas cara a cara, Hilo, echando pie a tierra desde su cuadriga, se detuvo alzado en medio del terreno que separaba a los ejércitos, y, luego, dijo: «Oh estratego que has venido de Argos: ¿por qué no dejamos en paz a esta tierra? Tampoco harás ningún daño a Micenas si la privas de un hombre. ¡Ea! Emprende batalla, tú solo, conmigo solo. O coge y llévate, si me matas, a los hijos de Heracles; o, si mueres, déjame conservar las honras y el palacio de mi padre». El ejército lo elogió: bien dicha estaba la propuesta tanto por librarles de fatigas como por su valor. Pero aquél, ni por vergüenza ante los que habían oído las palabras, ni ante su propia cobardía, aun siendo él un estratego, se atrevió a acercarse a la poderosa lanza, sino que fue muy cobarde. ¡Y, a pesar de ser de tal laya, había venido a esclavizar a los hijos de Heracles! Pues bien, Hilo se retiró de nuevo a su fila. Y los adivinos, una vez que se enteraron de que la reconciliación no se cumplía mediante combate singular, hacían sacrificios y no se demoraban, sino que vertieron al punto sangre propicia de una garganta humana. Unos subían a los carros, otros se cubrían costado contra costado al amparo de los escudos. El soberano de los atenienses dio una orden a su ejército como debe hacerlo uno de buen linaje: « ¡Oh conciudadanos! Es necesario defender ahora la tierra que nos alimenta y nos dio a luz». El otro, por su parte, pidió a sus aliados que no consintieran que Argos y Micenas pasaran vergüenza. Una vez que se dio un toque

ἐπεὶ δ᾽ ἐσήμην᾽ ὄρθιον Τυρσηνικῇ
σάλπιγγι καὶ συνῆψαν ἀλλήλοις μάχην,
πόσον τιν᾽ αὐχεῖς πάταγον ἀσπίδων βρέμειν,
πόσον τινὰ στεναγμὸν οἰμωγήν θ᾽ ὁμοῦ;
τὰ πρῶτα μέν νυν πίτυλος Ἀργείου δορὸς
ἐρρήξαθ᾽ ἡμᾶς, εἶτ᾽ ἐχώρησαν πάλιν.
τὸ δεύτερον δὲ ποὺς ἐπαλλαχθεὶς ποδί,
ἀνὴρ δ᾽ ἐπ᾽ ἀνδρὶ στάς, ἐκαρτέρει μάχη:
πολλοὶ δ᾽ ἔπιπτον. ἦν δὲ δύο κελεύματα
"Ὦ" τὰς Ἀθήνας — "Ὦ" τὸν Ἀργείων γύην
σπείροντες — οὐκ ἀρήξετ᾽ αἰσχύνην πόλει;
μόλις δὲ πάντα δρῶντες οὐκ ἄτερ πόνων
ἐτρεψάμεσθ᾽ Ἀργεῖον ἐς φυγὴν δόρυ.
κἀνταῦθ᾽ ὁ πρέσβυς Ὕλλον ἐξορμώμενον
ἰδών, ὀρέξας ἱκέτευσε δεξιὰν
Ἰόλαος ἐμβῆσαί νιν ἵππειον δίφρον.
λαβὼν δὲ χερσὶν ἡνίας Εὐρυσθέως
πώλοις ἐπεῖχε. τἀπὸ τοῦδ᾽ ἤδη κλύων
λέγοιμ᾽ ἂν ἄλλων, δεῦρο γ᾽ αὐτὸς εἰσιδών.
Παλληνίδος γὰρ σεμνὸν ἐκπερῶν πάγον
δίας Ἀθάνας, ἅρμ᾽ ἰδὼν Εὐρυσθέως,
ἠράσαθ᾽ Ἥβῃ Ζηνί θ᾽ ἡμέραν μίαν
νέος γενέσθαι κἀποτείσασθαι δίκην
ἐχθρούς. κλύειν δὴ θαύματος πάρεστί σοι.
δισσὼ γὰρ ἀστέρ᾽ ἱππικοῖς ἐπὶ ζυγοῖς
σταθέντ᾽ ἔκρυψαν ἅρμα λυγαίῳ νέφει:
σὸν δὴ λέγουσι παῖδά γ᾽ οἱ σοφώτεροι
Ἥβην θ᾽: ὁ δ᾽ ὄρφνης ἐκ δυσαιθρίου νέων
βραχιόνων ἔδειξεν ἡβητὴν τύπον.
αἱρεῖ δ᾽ ὁ κλεινὸς Ἰόλεως Εὐρυσθέως
τέτρωρον ἅρμα πρὸς πέτραις Σκιρωνίσιν,
δεσμοῖς τε δήσας χεῖρας ἀκροθίνιον
κάλλιστον ἥκει τὸν στρατηλάτην ἄγων
τὸν ὄλβιον πάροιθε. τῇ δὲ νῦν τύχῃ
βροτοῖς ἅπασι λαμπρὰ κηρύσσει μαθεῖν,
τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν πρὶν ἂν
θανόντ᾽ ἴδῃ τις: ὡς ἐφήμεροι τύχαι.

agudo con la trompeta tirrena[31] y que emprendieron mutuamente la batalla, ¿cuánto estruendo de los escudos presumes tú que resonaba? ¿Cuánto gemido y lamento a un tiempo? Al principio, pues, el ataque del ejército argivo embistió nuestras filas. Luego, se retiraron. A continuación, trabado un pie con otro, situado un hombre junto a otro, ganaban firmeza en la batalla. Muchos caían y se dejaban oír dos exhortaciones[32]: « ¡Oh Atenas! ». « ¡Ah los que sembráis la campiña de los argivos! ¿No vais a defender de la vergüenza a vuestra ciudad?». A duras penas, intentándolo todo, no sin fatigas, pusimos en fuga al ejército argivo. Y, entonces, el anciano Yolao, viendo que Hilo se ponía en marcha, tendiendo la mano derecha le suplicó que lo subiera al carro de caballos, y, cogiendo con las manos las riendas, persiguió a los potros de Euristeo. Ya, lo que sigue a esto, puedo decirlo yo por haberlo oído de otros, pero hasta aquí por haberlo visto yo mismo. En efecto, en Palene[33], mientras cruzaba por la venerada colina de la divina Palas, al ver el carro de Euristeo, pidió a Hebe[34] y a Zeus tornarse joven por un solo día y hacerles pagar su castigo a los enemigos. Ahora te es posible oír un prodigio. Efectivamente, deteniéndose dos astros encima del yugo de los caballos, ocultaron el carro con una nube oscura. Los más enterados nombran a tu hijo, al menos, y a Hebe. Yolao, saliendo de la sombría tiniebla, mostró el perfil vigoroso de unos brazos juveniles. El ilustre Yolao capturó el carro de cuatro caballos de Euristeo junto a las rocas de Escirón[35], y, atándole las manos con ligaduras, llegó con las primicias más hermosas del botín: el jefe militar antes feliz. Con la desgracia de ahora a todos los mortales se les da un pregón claro de entender: no envidiar a quien aparenta ser feliz, hasta que uno lo vea muerto. Que efímeras son las vicisitudes de la fortuna[36].

---

[31] Era famosa la trompeta tirrena, recta y larga a un tiempo. Cabe que la llevaran los piratas tirrenos a Europa, o que fuera un invento de los lidios, pueblo de Asia Menor, del que procedían los tirrenos.

[32] Pasaje probablemente corrupto.

[33] El demo de Palene, donde había un templo de la diosa Atenea, estaba al norte del monte Himeto, situado al este de Atenas en dirección a Maratón.

[34] Diosa de la juventud. Hija de Zeus y de Hera. Estaba casada con Heracles en el Olimpo.

[35] Bandido muerto por Teseo. Estas rocas estaban en el límite entre Atenas y Mégara. APOLODORO nos dice que Yolao mató aquí a Euristeo, y que, después, llevó su cadáver a Alcmena *(Biblioteca* II 8, 1).

[36] Tópico constante de la literatura griega es el de no considerar feliz a nadie hasta que muera, temiendo que en cualquier momento pueda haber un cambio súbito de la fortuna.

Χορός

ὦ Ζεῦ τροπαῖε, νῦν ἐμοὶ δεινοῦ φόβου
ἐλεύθερον πάρεστιν ἦμαρ εἰσιδεῖν.

CORIFEO. — ¡Oh Zeus que das la victoria! Ahora me es posible ver un día libre de terrible miedo.

Ἀλκμήνη

ὦ Ζεῦ, χρόνῳ μὲν τἄμ᾽ ἐπεσκέψω κακά,
χάριν δ᾽ ὅμως σοι τῶν πεπραγμένων ἔχω:
καὶ παῖδα τὸν ἐμὸν πρόσθεν οὐ δοκοῦσ᾽ ἐγὼ
θεοῖς ὁμιλεῖν νῦν ἐπίσταμαι σαφῶς.
ὦ τέκνα, νῦν δὴ νῦν ἐλεύθεροι πόνων,
ἐλεύθεροι δὲ τοῦ κακῶς ὀλουμένου
Εὐρυσθέως ἔσεσθε καὶ πόλιν πατρὸς
ὄψεσθε, κλήρους δ᾽ ἐμβατεύσετε χθονὸς
καὶ θεοῖς πατρῴοις θύσεθ᾽, ὧν ἀπειργμένοι
ξένοι πλανήτην εἴχετ᾽ ἄθλιον βίον.
ἀτὰρ τί κεύθων Ἰόλεως σοφόν ποτε
Εὐρυσθέως ἐφείσαθ᾽ ὥστε μὴ κτανεῖν;
λέξον: παρ᾽ ἡμῖν μὲν γὰρ οὐ σοφὸν τόδε,
ἐχθροὺς λαβόντα μὴ ἀποτείσασθαι δίκην.

ALCMENA. — ¡Oh Zeus! ¡Por fin has considerado mis desgracias! Sin embargo, te tengo agradecimiento por lo que ha pasado. Yo, que no creía antes que mi hijo estuviera entre los dioses, ahora lo sé con certeza. ¡Oh hijos! Ahora ya, ahora, libres de trabajos, libres estaréis de Euristeo, que va a perecer de mala manera, y veréis la ciudad de nuestro padre. Pisaréis vuestros lotes de tierra[37] y haréis sacrificios a los dioses paternos; pues, rechazados de ellos como extranjeros, llevabais una desdichada vida errante. Pero, ¿qué astucia ocultaba Yolao para perdonar a Euristeo hasta el punto de no matarlo? Dilo. Pues según nosotros no es astucia esto: tras coger a los enemigos no hacerles pagar su castigo.

Ἄγγελος

τὸ σὸν προτιμῶν, ὥς νιν ὀφθαλμοῖς ἴδοις
ταρβοῦντα καὶ σῇ δεσποτούμενον χερί.
οὐ μὴν ἑκόντα γ᾽ αὐτόν, ἀλλὰ πρὸς βίαν
ἔζευξ᾽ ἀνάγκῃ: καὶ γὰρ οὐκ ἐβούλετο
ζῶν ἐς σὸν ἐλθεῖν ὄμμα καὶ δοῦναι δίκην.
ἀλλ᾽, ὦ γεραιά, χαῖρε καὶ μέμνησό μοι
ὃ πρῶτον εἶπας, ἡνίκ᾽ ἠρχόμην λόγου,
ἐλευθερώσειν μ᾽: ἐν δὲ τοῖς τοιοῖσδε χρὴ
ἀψευδὲς εἶναι τοῖσι γενναίοις στόμα.

SERVIDOR. — Por honrarte a ti, para que lo vieras con tus ojos poderoso y sometido a tu mano. A él, no ciertamente por su gusto, sino por la fuerza, lo sometió[37a] a al yugo de la necesidad. Pues no quería venir vivo a tu presencia ni darte reparación. ¡Ea! Oh anciana, salud y acuérdate, por mí, de lo que has dicho al principio, cuando comencé mi relato: libérame. En tales ocasiones es preciso que la gente noble tenga una boca que no miente[38].

Χορός

ἐμοὶ χορὸς μὲν ἡδὺ καὶ λίγεια λω-
τοῦ χάρις ἀμφὶ δαῖτα:
εἴη δ᾽ <ἂν> εὔχαρις Ἀφροδίτα:
τερπνὸν δέ τι καὶ φίλων ἄρ᾽
εὐτυχίαν ἰδέσθαι
τῶν πάρος οὐ δοκούντων.

ESTÁSIMO 4.º

CORO. Estrofa 1.ª.

Para mí es agradable un coro, si la gracia aguda del loto[39] [...][40]. *¡Venga encantadora Afrodita! Pero también es algo grato ver la dicha de unos amigos, por cierto, que antes no tenían tal fama. Pues muchos partos tiene la Moira*[41], que

---

[37] Alusión al reparto del Peloponeso entre los Heraclidas.

[37a] Se comprende, Yolao. Hay un brusco cambio de sujeto.

[38] Alcmena había prometido la libertad a uno de sus esclavos (v. 785), en agradecimiento a sus servicios. Ahora el esclavo le recuerda la promesa y la obligación de mantener su palabra. Cuando un esclavo recibía la libertad quedaba ligado a la familia por una serie de lazos religiosos.

[39] La caña de loto servía para hacer flautas. Tal planta se encontraba especialmente en Libia, y es normal que reciba el nombre de doto libio» o «flauta libia».

[40] El texto está corrupto.

[41] El destino, la suerte.

πολλὰ γὰρ τίκτει Μοῖρα τελεσσιδώ-
τειρ᾽ Αἰών τε Χρόνου παῖς.

da cumplimiento, y Eón[42]*, hijo de Crono*[44].

Χορός

ἔχεις ὁδόν τιν᾽, ὦ πόλις, δίκαιον: οὐ
χρή ποτε τοῦδ᾽ ἀφέσθαι, -
τιμᾶν θεούς: ὁ <δὲ> μή σε φάσκων
ἐγγὺς μανιῶν ἐλαύνει,
δεικνυμένων ἐλέγχων
τῶνδ᾽: ἐπίσημα γάρ τοι
θεὸς παραγγέλλει, τῶν ἀδίκων παραι-
ρῶν φρονήματος αἰεί.

Antistrofa 1.ª.

Mantienes un camino justo, oh ciudad —necesario es que no se les prive jamás de ello—: honrar a los dioses. El que diga que no, marcha cerca de la locura, cuando se demuestran estas pruebas. Pues, realmente, un dios transmite la señal, al destruir siempre el orgullo de los injustos.

Χορός

ἔστιν ἐν οὐρανῷ βεβα-
κὼς ὁ σὸς γόνος, ὦ γεραι-
ά: φεύγει λόγον ὡς τὸν Ἅι-
δα δόμον κατέβα, πυρὸς
δεινᾷ φλογὶ σῶμα δαισθείς:
Ἥβας τ᾽ ἐρατὸν χροΐ-
ζει λέχος χρυσέαν κατ᾽ αὐλάν.
ὦ Ὑμέναιε, δισ-
σοὺς παῖδας Διὸς ἠξίωσας.

Estrofa

Está pisando en el cielo tu hijo, oh anciana. Rehuye él la fama de que bajó a la casa de Hades, devorado su cuerpo por terrible llama de fuego[44]. *Comparte el amable lecho de Hebe en el palacio de oro*[45]. *¡Oh Himeneo*[46]*, honraste a dos hijos de Zeus!*[47].

Χορός

συμφέρεται δὲ πολλὰ πολ-
λοῖς: καὶ γὰρ πατρὶ τῶνδ᾽ Ἀθά-
ναν λέγουσ᾽ ἐπίκουρον εἶ-
ναι, καὶ τούσδε θεᾶς πόλις
καὶ λαὸς ἔσωσε κείνας:
ἔσχεν δ᾽ ὕβριν ἀνδρὸς ᾧ
θυμὸς ἦν πρὸ δίκας βίαιος.
μήποτ᾽ ἐμοὶ φρόνη-
μα ψυχά τ᾽ ἀκόρεστος εἴη.

Antístrofa 2.ª.

Las más de las cosas coinciden con otras muchas. Pues ya bien decían que Atenea era auxiliar del padre de éstos, y ahora la ciudad y el pueblo de aquella diosa los salvó. Detuvo las insolencias de un hombre cuyo ánimo estaba violentamente por encima de la justicia. Jamás tenga yo tal orgullo ni un alma insaciable.

---

[42] Aión es propiamente la vida, la duración de una persona.

[44] No se trata aquí de *Krónos* padre de Zeus, Posidón y Hades, sino de *Khrónos*, personificación del tiempo visto en su valor absoluto.

[44] Alusión a la muerte de Heracles en el monte Eta, situado a unos veinte kilómetros de Traquis, en una pira construida siguiendo sus órdenes, en medio de los atroces dolores que le causaba la túnica que le había regalado su esposa Deyanira.

[45] En el verso 851 se mencionaba a Hebe. En efecto, cuando Heracles subió al cielo, Hera, esposa de Zeus, que le había perseguido ferozmente hasta entonces, furiosa por tratarse de un hijo ilegítimo de su marido, se reconcilió con su esposo y con el héroe, ofreciéndole a su hija Hebe en matrimonio. Al tiempo, Heracles adquirió rango de dios, es decir, tuvo lugar su apoteosis.

[46] Dios del matrimonio. Homónimo del canto nupcial. Himeneo era hijo de Dioniso y Afrodita (o de Apolo y Calíope).

[47] Heracles era hijo de Zeus y Alcmena. Hebe, como hemos dicho, también era hija de Zeus.

ÉXODO (928-1055).

Θεράπων

δέσποιν᾽, ὁρᾷς μέν, ἀλλ᾽ ὅμως εἰρήσεται,
Εὐρυσθέα σοι τόνδ᾽ ἄγοντες ἥκομεν,
ἄελπτον ὄψιν, τῷδέ τ᾽ οὐχ ἧσσον τύχην:
οὐ γάρ ποτ᾽ ηὔχει χεῖρας ἵξεσθαι σέθεν,
ὅτ᾽ ἐκ Μυκηνῶν πολυπόνῳ σὺν ἀσπίδι
ἔστειχε μείζω τῆς δίκης φρονῶν, πόλιν
πέρσων Ἀθάνας. ἀλλὰ τὴν ἐναντίαν
δαίμων ἔθηκε καὶ μετέστησεν τύχην.
Ὕλλος μὲν οὖν ὅ τ᾽ ἐσθλὸς Ἰόλεως βρέτας
Διὸς τροπαίου καλλίνικον ἵστασαν:
ἐμοὶ δὲ πρὸς σὲ τόνδ᾽ ἐπιστέλλουσ᾽ ἄγειν,
τέρψαι θέλοντες σὴν φρέν᾽: ἐκ γὰρ εὐτυχοῦς
ἥδιστον ἐχθρὸν ἄνδρα δυστυχοῦνθ᾽ ὁρᾶν.

SERVIDOR. — Señora, lo ves, pero, con todo, se dirá: hemos venido trayéndote aquí a Euristeo, **930** inesperado espectáculo, y no lo es menos haber conseguido esto. Pues jamás esperaba él que había de llegar a tus manos, cuando salía de Micenas con un ejército muy aguerrido, meditando con orgullo mucho mayor que la justicia, para destruir Atenas. **935** Mas una divinidad decidió lo contrario y cambió la suerte. Pues bien, Hilo y el valiente Yolao han erigido por el hermoso triunfo la imagen de Zeus que da la victoria. A mí me encargan traer a éste ante ti, porque desean deleitar tu corazón. Pues es muy dulce **940** ver que un enemigo es desgraciado en lugar de feliz.

Ἀλκμήνη

ὦ μῖσος, ἥκεις; εἷλέ σ᾽ ἡ Δίκη χρόνῳ;
πρῶτον μὲν οὖν μοι δεῦρ᾽ ἐπίστρεψον κάρα
καὶ τλῆθι τοὺς σοὺς προσβλέπειν ἐναντίον
ἐχθρούς: κρατῇ γὰρ νῦν γε κοὐ κρατεῖς ἔτι.
ἐκεῖνος εἶ σύ, βούλομαι γὰρ εἰδέναι,
ὃς πολλὰ μὲν τὸν ὄνθ᾽ ὅπου 'στὶ νῦν ἐμὸν
παῖδ᾽ ἀξιώσας, ὦ πανοῦργ᾽, ἐφυβρίσαι
ὕδρας λέοντάς τ᾽ ἐξαπολλύναι λέγων
ἔπεμπες; ἄλλα δ᾽ οἷ᾽ ἐμηχανῶ κακὰ
σιγῶ: μακρὸς γὰρ μῦθος ἂν γένοιτό μοι.
τί γὰρ σὺ κεῖνον οὐκ ἔτλης καθυβρίσαι
ὃς καὶ παρ᾽ Ἅιδην ζῶντά νιν κατήγαγες;
κοὐκ ἤρκεσέν σοι ταῦτα τολμῆσαι μόνον,
ἀλλ᾽ ἐξ ἁπάσης κἀμὲ καὶ τέκν᾽ Ἑλλάδος
ἤλαυνες ἱκέτας δαιμόνων καθημένους,
τοὺς μὲν γέροντας, τοὺς δὲ νηπίους ἔτι.
ἀλλ᾽ ηὗρες ἄνδρας καὶ πόλισμ᾽ ἐλεύθερον,
οἵ σ᾽ οὐκ ἔδεισαν. δεῖ σε κατθανεῖν κακῶς,
καὶ κερδανεῖς ἅπαντα: χρῆν γὰρ οὐχ ἅπαξ
θνῄσκειν σὲ πολλὰ πήματ᾽ ἐξειργασμένον.

ALCMENA. — ¡Oh ser odioso! ¿Has llegado? Te ha cogido la justicia, por fin. Pues bien, en primer lugar vuélveme tu cabeza hacia aquí y soporta mirar de frente a tus enemigos. **945** Pues ahora estás dominado y no dominas ya. ¿Eres tú aquel —pues quiero saberlo—que creíste oportuno, oh malvado, hacer tantas ofensas a mi hijo que está ahora donde está? Pues, ¿en qué no te atreviste tú a ultrajarlo? Tú que le hiciste bajar **950** vivo al Hades y que lo despachabas diciéndole que matara hidras y leones. Callo otros males como los que maquinaste, pues largo se me haría el relato. Y no te bastó atreverte sólo a esas cosas, sino que desde toda la Hélade nos echabas a mí y a sus hijos, **955** postrados como suplicantes de las divinidades, unos, viejos, otros, niños todavía. Pero encontraste hombres y una ciudad libre, que no te temieron. Tú debes morir de mala manera y sacarás todo tu provecho; pues sería preciso que murieras, **960** no una sola vez, tú que has causado muchos sufrimientos.

Θεράπων

οὐκ ἔστ᾽ ἀνυστὸν τόνδε σοι κατακτανεῖν.

SERVIDOR[48]. — No te es posible matar a éste.

Ἀλκμήνη

ἄλλως ἄρ᾽ αὐτὸν αἰχμάλωτον εἵλομεν.

ALCMENA. — Entonces, ¿en vano lo hemos cogido prisionero?

---

[48] Seguimos, en el reparto de personajes, a A. GARZYA, *Eurípides, Heraclidae,* Leipzig, 1972. Otros editores lo disponen de diversas maneras.

<Θεράπων >
<ἄλλως, κατακτανεῖν νιν εἰ πρόθυμος εἶ.>

Ἀλκμήνη
εἴργει δὲ δὴ τίς τόνδε μὴ θνήσκειν νόμος;

ALCMENA. — ¿Qué ley, pues, impide que él muera?

Θεράπων
τοῖς τῆσδε χώρας προστάταισιν οὐ δοκεῖ.

SERVIDOR. — No les parece bien a los jefes de este país.

Ἀλκμήνη
τί δὴ τόδ᾽; ἐχθροὺς τοισίδ᾽ οὐ καλὸν κτανεῖν;

ALCMENA. — Y eso, ¿por qué? ¿No es hermoso para ellos matar a sus enemigos?

Θεράπων
οὐχ ὅντιν᾽ ἄν γε ζῶνθ᾽ ἕλωσιν ἐν μάχῃ.

SERVIDOR. — No, al menos a quien cogen vivo en una batalla.

Ἀλκμήνη
καὶ ταῦτα δόξανθ᾽ Ὕλλος ἐξηνέσχετο;

ALCMENA. — ¿Aceptó Hilo también esa resolución?

Θεράπων
χρῆν αὐτόν, οἶμαι, τῇδ᾽ ἀπιστῆσαι χθονί.

SERVIDOR. — ¿Era necesario, pienso yo, que él hubiera desobedecido a esta tierra?

Ἀλκμήνη
χρῆν τόνδε μὴ ζῆν μηδ᾽ ἔτ᾽ εἰσορᾶν φάος.*

ALCMENA. — Era necesario que éste no viviera ni viera más luz.

<Θεράπων >
< >

Θεράπων <Ἀλκμήνη >
τότ᾽ ἠδικήθη πρῶτον οὐ θανὼν ὅδε.

SERVIDOR. — Éste sufrió injusticia en primer lugar al no morir.

<Θεράπων >
< >

Ἀλκμήνη
οὔκουν ἔτ᾽ ἐστὶν ἐν καλῷ δοῦναι δίκην;

ALCMENA. — ¿No es verdad que está todavía en buen momento para pagar su castigo?

Θεράπων
οὐκ ἔστι τοῦτον ὅστις ἂν κατακτάνοι.

SERVIDOR. — No hay quien pueda darle muerte.

Ἀλκμήνη

* Otra lectura: χρῆν τόνδε μὴ ζῆν μηδ᾽ ὁρᾶν φάος ἔτι.

ἔγωγε: καίτοι φημὶ κἄμ᾽ εἶναί τινα.

ALCMENA. — Yo sí. Y, en verdad, afirmo que también yo soy alguien.

Θεράπων

πολλὴν ἄρ᾽ ἕξεις μέμψιν, εἰ δράσεις τόδε.

SERVIDOR. — Recibirás, sin duda, un gran reproche, si haces eso.

Ἀλκμήνη

φιλῶ πόλιν τήνδ᾽: οὐδὲν ἀντιλεκτέον:
τοῦτον δ᾽, ἐπείπερ χεῖρας ἦλθεν εἰς ἐμάς,
οὐκ ἔστι θνητῶν ὅστις ἐξαιρήσεται.
πρὸς ταῦτα τὴν θρασεῖαν ὅστις ἂν θέλῃ
καὶ τὴν φρονοῦσαν μεῖζον ἢ γυναῖκα χρὴ
λέξει: τὸ δ᾽ ἔργον τοῦτ᾽ ἐμοὶ πεπράξεται.

ALCMENA. — Quiero a esta ciudad —no hay nada que oponer—. Pero a ése, una vez que ha llegado a mis manos, no hay mortal que me lo quite. Quien lo desee me llamará osada, con respecto a eso, y más orgullosa de lo que debe ser una mujer. Pero el hecho habrá sido realizado por mí.

Χορός

δεινόν τι καὶ συγγνωστόν, ὦ γύναι, σ᾽ ἔχει
νεῖκος πρὸς ἄνδρα τόνδε, γιγνώσκω καλῶς.

CORIFEO. — Terrible y perdonable querella contra este hombre te domina, oh mujer. Lo comprendo perfectamente.

Ἐυρυσθεύς

γύναι, σάφ᾽ ἴσθι μή με θωπεύσοντά σε
μηδ᾽ ἄλλο μηδὲν τῆς ἐμῆς ψυχῆς πέρι
λέξονθ᾽ ὅθεν χρὴ δειλίαν ὀφλεῖν τινα.
ἐγὼ δὲ νεῖκος οὐχ ἑκὼν τόδ᾽ ἠράμην:
ᾔδη γε σοὶ μὲν αὐτανέψιος γεγώς,
τῷ σῷ δὲ παιδὶ συγγενὴς Ἡρακλέει.
ἀλλ᾽ εἴτ᾽ ἔχρῃζον εἴτε μή — θεὸς γὰρ ἦν —
Ἥρα με κάμνειν τήνδ᾽ ἔθηκε τὴν νόσον.
ἐπεὶ δ᾽ ἐκείνῳ δυσμένειαν ἠράμην
κἄγνων ἀγῶνα τόνδ᾽ ἀγωνιούμενος,
πολλῶν σοφιστὴς πημάτων ἐγιγνόμην
καὶ πόλλ᾽ ἔτικτον νυκτὶ συνθακῶν ἀεί,
ὅπως διώσας καὶ κατακτείνας ἐμοὺς
ἐχθροὺς τὸ λοιπὸν μὴ συνοικοίην φόβῳ,
εἰδὼς μὲν οὐκ ἀριθμὸν ἀλλ᾽ ἐτητύμως
ἄνδρ᾽ ὄντα τὸν σὸν παῖδα: καὶ γὰρ ἐχθρὸς ὢν
ἀκούσεται † γ᾽ ἐσθλὰ† χρηστὸς ὢν ἀνήρ.
κείνου δ᾽ ἀπαλλαχθέντος οὐκ ἐχρῆν μ᾽ ἄρα,
μισούμενον πρὸς τῶνδε καὶ ξυνειδότα
ἔχθραν πατρῴαν, πάντα κινῆσαι πέτρον
κτείνοντα κἀκβάλλοντα καὶ τεχνώμενον;
τοιαῦτα δρῶντι τἄμ᾽ ἐγίγνετ᾽ ἀσφαλῆ.
οὔκουν σύ γ᾽ ἀναλαβοῦσα τὰς ἐμὰς τύχας
ἐχθροῦ λέοντος δυσγενῆ βλαστήματα

EURISTEO. — Mujer, sábete bien que no te adularé ni diré con respecto a mi vida ninguna cosa por la que tenga que ser acusado de cobardía alguna. Yo emprendí esta querella no por mi gusto. Sabía que era primo hermano tuyo y del mismo linaje que tu hijo Heracles[49]. Pero tanto si yo quería como si no —pues ella era una diosa—, Hera me hizo contraer esta enfermedad[50]. Y una vez que emprendí mi hostilidad contra él y comprendí que había de librar este combate, me convertí en artífice de muchas penalidades y muchas engendraba yo entrevistándome con la noche sin cesar, con el fin de no cohabitar en lo sucesivo con el miedo cuando yo hubiera rechazado y dado muerte a mis enemigos, sabiendo que tu hijo no era un número más, sino un hombre de verdad. Pues, aun siendo él un enemigo, oirá cosas favorables por ser un hombre cabal. Una vez que él murió, ¿no era necesario, entonces, que yo, odiado por éstos y testigo del odio que les viene de su padre, removiera cualquier piedra tratando de matarlos, expulsándolos y tramando intrigas? Si yo hacía eso, lo mío se volvía seguro. Si hubieras tenido mi suerte, ¿no habrías perseguido con males a los retoños

---

[49] Euristeo, rey de Tirinto y Micenas, era primo hermano de Alcmena por dos lados. Sus padres respectivos, Esténelo y Electrión, eran hijos de Perseo. Sus madres eran ambas hijas de Pélope.

[50] El odio hacia Heracles. Hera, mediante un juramento engañoso que le hiciera prestar a Zeus, consiguió que Heracles quedara bajo las órdenes de Euristeo, que le mandó hacer los famosos doce trabajos.

ἤλαυνες ἂν κακοῖσιν, ἀλλὰ σωφρόνως
εἴασας οἰκεῖν Ἄργος. οὔτιν᾽ ἂν πίθοις.
νῦν οὖν ἐπειδή μ᾽ οὐ διώλεσαν τότε
πρόθυμον ὄντα, τοῖσιν Ἑλλήνων νόμοις
οὐχ ἁγνός εἰμι τῷ κτανόντι κατθανών:
πόλις τ᾽ ἀφῆκε σωφρονοῦσα, τὸν θεὸν
μεῖζον τίουσα τῆς ἐμῆς ἔχθρας πολύ.
προσεῖπας, ἀντήκουσας: ἐντεῦθεν †δὲ χρὴ
τὸν προστρόπαιον τόν τε γενναῖον καλεῖν†.
οὕτω γε μέντοι τἄμ᾽ ἔχεις: θανεῖν μὲν οὐ
χρῄζω, λιπὼν δ᾽ ἂν οὐδὲν ἀχθοίμην βίον.

mal nacidos de un león enemigo, sino que les habrías permitido sensatamente que habitaran en Argos? A nadie podrías convencer. Pues bien, ahora, una vez que no me mataron cuando yo lo deseaba, según las leyes de los griegos. Si muero, no dejo yo sin mancha a quien me mate. La ciudad me perdonó prudentemente, honrando al dios mucho más que a su odio contra mí. En relación a lo que has dicho, has oído la respuesta. A partir de ahora, es preciso llamarme vengador y noble. Pues bien, hasta tal punto dispones de mi situación. No deseo morir, pero no me afligiría nada si dejara la vida.

Χορός

παραινέσαι σοι σμικρόν, Ἀλκμήνη , θέλω,
τὸν ἄνδρ᾽ ἀφεῖναι τόνδ᾽, ἐπεὶ δοκεῖ πόλει.

CORIFEO. — Quiero darte un pequeño consejo, Alcmena: perdona a este hombre, pues lo decide la ciudad.

Ἀλκμήνη

τί δ᾽, ἢν θάνῃ τε καὶ πόλει πιθώμεθα;

ALCMENA. — ¿Y qué pasa si él muere y yo obedezco a la ciudad?

Χορός

τὰ λῷστ᾽ ἂν εἴη: πῶς τάδ᾽ οὖν γενήσεται;

CORIFEO. — Sería lo mejor. ¿Cómo podrá ocurrir eso?

Ἀλκμήνη

ἐγὼ διδάξω ῥᾳδίως: κτανοῦσα γὰρ
τόνδ᾽ εἶτα νεκρὸν τοῖς μετελθοῦσιν φίλων
δώσω: τὸ γὰρ σῶμ᾽ οὐκ ἀπιστήσω χθονί,
οὗτος δὲ δώσει τὴν δίκην θανὼν ἐμοί.

ALCMENA. — Yo te lo explicaré fácilmente. En efecto, tras matar a éste, entregaré luego su cadáver a los amigos que vengan en su busca. Respecto al cuerpo no desobedeceré, pues, al país; pero él me pagará su castigo con la muerte.

Ἐυρυσθεύς

κτεῖν᾽, οὐ παραιτοῦμαί σε: τήνδε δὲ πτόλιν,
ἐπεί μ᾽ ἀφῆκε καὶ κατῃδέσθη κτανεῖν,
χρησμῷ παλαιῷ Λοξίου δωρήσομαι,
ὃς ὠφελήσει μεῖζον᾽ ἢ δοκεῖ χρόνῳ.
θανόντα γάρ με θάψεθ᾽ οὗ τὸ μόρσιμον,
δίας πάροιθε παρθένου Παλληνίδος:
καὶ σοὶ μὲν εὔνους καὶ πόλει σωτήριος
μέτοικος αἰεὶ κείσομαι κατὰ χθονός,
τοῖς τῶνδε δ᾽ ἐκγόνοισι πολεμιώτατος,
ὅταν μόλωσι δεῦρο σὺν πολλῇ χερὶ

EURISTEO. — Mátame, no te suplico. A esta ciudad, puesto que me perdonó y le dio vergüenza matarme, la obsequiaré con un oráculo de Loxias[50a], que causará con el tiempo beneficios mayores de lo que parece.
En efecto, cuando muera enterradme donde decide el destino: delante de la divina virgen de Palene[51]. Yaceré para siempre en el país como un meteco[52] benévolo para ti[53] y salvador de la ciudad, pero muy enemigo de los descendientes de

[50a] Equivale a «oblicuo», «oscuro», a causa de sus oráculos.
[51] Referencia al templo de Atenea en Palene, mencionado en v. 849.
[52] Forastero establecido en un país, al que pagaba impuestos por lo general.
[53] Unos piensan en el Corifeo. Otros, en el pueblo de Atenas.

χάριν προδόντες τήνδε. τοιούτων ξένων
προύστητε. πῶς οὖν ταῦτ᾽ ἐγὼ πεπυσμένος
δεῦρ᾽ ἦλθον, ἀλλ᾽ οὐ χρησμὸν ηζόμην θεοῦ;
Ἥραν νομίζων θεσφάτων κρείσσω πολὺ
κοὐκ ἂν προδοῦναί μ᾽. ἀλλὰ μήτε μοι χοὰς
μήθ᾽ αἷμ᾽ ἐάσητ᾽ εἰς ἐμὸν στάξαι τάφον.
κακὸν γὰρ αὐτοῖς νόστον ἀντὶ τῶνδ᾽ ἐγὼ
δώσω: διπλοῦν δὲ κέρδος ἕξετ᾽ ἐξ ἐμοῦ:
ὑμᾶς τ᾽ ὀνήσω τούσδε τε βλάψω θανών.

éstos[54], cuando vengan aquí con un gran ejército traicionando este favor. A tales huéspedes habéis defendido. ¿Cómo vine aquí, si estaba informado de esto, y no pregunté el oráculo del dios? Pensé que Hera tenía mucha más fuerza que los vaticinios y que no me traicionaría. Mas no permitas que derramen en mi tumba ni libaciones ni sangre. Pues yo les daré un mal regreso en pago a estas cosas. Un doble provecho tendréis de mí: os beneficiaré a vosotros y perjudicaré a éstos cuando me haya muerto.

Ἀλκμήνη

τί δῆτα μέλλετ᾽, εἰ πόλει σωτηρίαν
κατεργάσασθαι τοῖσί τ᾽ ἐξ ἡμῶν χρεών
[κτείνειν τὸν ἄνδρα τόνδ᾽, ἀκούοντες τάδε];
δείκνυσι γὰρ κέλευθον ἀσφαλεστάτην:
ἐχθρὸς μὲν ἀνήρ, ὠφελεῖ δὲ κατθανών.
κομίζετ᾽ αὐτόν, δμῶες, ἔνθα χρὴ †κυσὶν†
δοῦναι κτανόντας: μὴ γὰρ ἐλπίσῃς ὅπως
αὖθις πατρῴας ζῶν ἔμ᾽ ἐκβαλεῖς χθονός.

ALCMENA. — ¿Qué esperáis, entonces, para matar a este hombre, después de oír eso, si es preciso conseguir la salvación para la ciudad y para nuestros descendientes? Indica él un camino muy seguro. Es un hombre enemigo, pero causará beneficios cuando se muera. Lleváoslo, esclavos. Luego, es preciso que, cuando lo hayáis matado, lo entreguéis a los perros. En efecto, no esperes echarme otra vez de la tierra patria, quedando con vida.

Χορός

ταῦτα δοκεῖ μοι. στείχετ᾽, ὀπαδοί.
τὰ γὰρ ἐξ ἡμῶν
καθαρῶς ἔσται βασιλεῦσιν.

CORO. — *Tengo la misma opinión. Marchad, servidores. Pues lo que de nosotros depende, quedará sin mancha en bien de mis reyes.*



[54] Es decir, los sucesores de los Heraclidas. Se refiere a la invasión que sufrió Atenas por obra de los Peloponesios al comienzo de la terrible guerra que sostuvieron ambos pueblos.